This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

NYPL RESEARCH LIBRARIES
3 3433 08161907 8

Digitized by Google


Digitized by Google


Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

(Bruce)

NSDB

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

SOPHOCLIS

QUÆ EXSTANT OMNIA

CUM VETERUM GRAMMATICORUM

SCHOLIIS.

SUPERSTITES

TRAGŒDIAS VII.

AD OPTIMORUM EXEMPLARIUM FIDEM RECENSUIT,

VERSIONE ET NOTIS ILLUSTRAVIT,

DEPERDITARUM FRAGMENTA COLLEGIT

RICH. FRANC. PHIL. BRUNCK,

REGIÆ INSCRIPTIONUM ET HUMANIORUM LITERARUM

ACADEMIÆ SOCIUS.

ACCEDUNT

EXCERPTA EX VARIETATE LECTIONIS,

QUAM CONTINET EDITIO

CAROLI GOTTL. AUGUSTI ERFURDT;

DEMETRII TRICLINII SCHOLIA METRICA;

NOTÆ INEDITÆ CAROLI BURNEII;

ET

GODFR. HENR. SCHÆFERI ANNOTATIO INTEGRA.

TOMUS II.

LONDINI:

EXCUDEBAT A. J. VALPY, A. M.

SUMTIBUS RICARDI PRIESTLEY.

MDCCCXXIV.

Digitized by Google

THE NEW YORK
PUBLIC LIBRARY

ASTOR, LENOX AND
TILDEN FOUNDATIONS.

Digitized by Google

ΣΟΦΟΚΛΕΟΥΣ

ΦΙΛΟΚΤΗΤΗΣ.

Digitized by Google

ΤΑ ΤΟΥ

ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ΧΟΡΟΣ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ΣΚΟΠΟΣ ἢ ΕΜΠΟΡΟΣ.

ΗΡΑΚΛΗΣ.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ ΦΙΛΟΚΤΗΤΟΥ.

ΑΠΑΓΩΓΗ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἕλενου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθείς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. ἡ δὲ σκηνὴ ἐν Λήμνῳ. ὁ δὲ Χορὸς ἐκ γερόντων τῶν Νεοπτολέμῳ συμπλεόντων.* κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα.† ἐδιδάχθη ἐπὶ Γλαυκίππου. πρῶτος ἦν Σοφοκλῆς.

[* ὁ δὲ Χορὸς ἐκ γερόντων τῶν Νεοπτολέμῳ συμπλεόντων. Subaudi συνέστηκε, quod alibi additur. V. Argument. Antigones et Electrae. Accedant haec Catalogo Ellipsium Bosiano p. 656. *Schaef.*]

[† ἡ μυθοποιΐα. i. q. ὁ μῦθος. Diodorus Sic. i. c. 96. τὴν τῶν ἐν ᾄδου μυθοποιΐαν ἀπενέγκασθαι. Idem iii. c. 65. τῷ συνταξαμένῳ τὰς παλαιὰς μυθοποιΐας. ubi al. μυθολογίας. *Schaef.*]

[De argumento metrico quod sequitur v. Valckenar. Diatr. Euripid. p. 89. B, *Schaef.*]

Digitized by Google

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

ΧΡΥΣΗΣ Ἀθηνᾶς βωμὸν ἐπιπεχωσμένον,
ἐφ' οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι, μόνος
Ποίαντος ἤδει παῖς ποθ' Ἡρακλεῖ συνών·
ζητῶν δὲ τοῦτον ναυβάτῃ δεῖξαι στόλῳ,
πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν.
Ἕλενος δ' Ἀχαιοῖς εἶφ', ἁλώσεσθ' Ἴλιον
τοῖς Ἡρακλέους τόξοισι, παιδί τ' Ἀχιλλέως.
τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

Argumentum metricum non exstat in veteribus codd. nec in Aldina. Primus id edidit Turnebus e codice ad Triclinii recensionem scripto, in quo perperam v. 1. legitur ἐν Χρύσῃ Ἀθηνᾶς· Χρύσῃ ipsius Minervæ cognomen erat, cujus meminit Scholiastes ad Œd. T. 188. et sic hoc ipso in dramate appellatur v. 194. et 1328. Est etiam Χρύσῃ insula prope Lemnum, in qua ad cognominis Minervæ aram a serpente ictus fuit Philocteta. Ista dilucidavit Alex. Politus in erudita ad Eustathium nota p. 707. editionis Florentinæ, et post eum Valckenarius Diatribes Euripideæ cap. xi.

2. Musgrave in codice scriptum fuit *μόνοις*. Immo solus Philoctetes aram noverat, quam in Chryse insula Minervæ dedicaverat olim Jason. Cod. ἤδη exhibet v. seq. cujus vice Turnebus suo more edidit ᾔδει. oportuit ἤδη.

4. *ναυάτῃ*, quod prorsus barbarum est, retineri non debuit: pejus in codice *ναυάτην στόλον*. Vide quæ notavimus ad Æschyli Persas 373.

Digitized by Google

ΣΟΦΟΚΛΕΟΥΣ

ΦΙΛΟΚΤΗΤΗΣ.

ΟΔΥΣΣΕΥΣ.

ΑΚΤΗ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, οὐδ' οἰκουμένη,
ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἕρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα·
ὅτ' οὔτε λοιβῆς ἡμὶν, οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθίγειν· ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων·

1. ΑΚΤΗ ΜΕΝ ΗΔΕ. καὶ παρὰ τούτῳ προλογίζει ὁ Ὀδυσσεὺς, καθάπερ καὶ παρ' Εὐριπίδῃ. ἀκείνῳ μέν τοι διαφέρει, παρ' ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιτίθησιν, οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων, διὰ τούτου οἰκονομεῖται. τὸ δὲ ΑΚΤΗ, διὰ τὸ εἶναι αὐτὴν νῆσον. ΑΣΤΕΙΠΤΟΣ. ἀπάτητος, ἀδιάβευτος. ἐν ἐρήμῳ γὰρ μέρει τῆς Λήμνου ἐξετέθη ὑπὸ τῶν Ἑλλήνων.

2. ΚΡΑΤΙΣΤΟΥ ΠΑΤΡΟΣ ΕΛΛΗΝΩΝ ΤΡΑΦΕΙΣ. λείπει ἡ ἐξ. τραφεὶς ἐκ πατρὸς Ἑλλήνων κρατίστου. τὸ δὲ ἐξῆς· ἔνθα ἐγώ ποτε ἐξέθηκα τὸν Μηλιᾶ Ποίαντος υἱὸν, ὦ Νεοπτόλεμε παῖ Ἀχιλλέως. ΤΟΝ ΜΗΛΙΑ. τὸν Θεσσαλὸν, ἀπὸ πόλεως. Ἀττικὸν δὲ τὸ Μηλιᾶ.

7. ΚΑΤΑΣΤΑΖΟΝΤΑ. καταῤῥέοντα, τηκόμενον, λυόμενον. ΔΙΑΒΟΡΩι. τῇ τὸν πόδα ἀσθενείᾳ, σηπτικῇ, τῇ διαβιβρωσκούσῃ· τῇ καλουμένῃ φαγεδαίνῃ. πάθος δὲ τοῦτό ἐστιν οὕτω λεγόμενον παρὰ τοῖς ἰατροῖς.

12. ΑΚΜΗ. καιρός. ΜΑΘΗι. κοίλῃ. ΚΑΙ'ΕΧΕΩ. ταράξω. ἀπὸ μεταφορᾶς τῶν ἀμελγόντων.

[9. προσθίγειν. Malim προσθιγεῖν. 12. ἀκμή. gl. καιρός. Sic in Aj. 812. Conf. not. ad Œdip. Col. v. 470. οὐχ ἕδρας ἀκμή. *Schaef.*]

Digitized by Google

μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀπχέω τὸ πᾶν
σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ', ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνου
δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἄ μοι προσελθὼν σῖγα, σήμαιν', εἴτ' ἔχει
χῶρον πρὸς αὐτὸν τόνδε γ', εἴτ' ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω· κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ.

ΝΕ. ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις.
δοκῶ γὰρ, οἷον εἶπας, ἄντρον εἰσορᾷν.

ΟΔ. ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.

17. ΙΝ' ΕΝ ΨΥΧΕΙ ΜΕΝ. ὅπου ἐν χειμῶνι μὲν, ἐν κρύει, πάρεστι θερμαίνεσθαι, τῆς ἀκτῖνος τοῦ ἡλίου ἑκατέρωθεν προσβαλλούσης, οὐκ ἐν ταυτῷ· ἀλλ', ὅτε μὲν κατὰ τὸ ἀνατολικὸν μέρος ἐλαύνει ὁ ἥλιος, διὰ τοῦ ἀνατολικοῦ στόματος· ὅτε δὲ εἰς τὸ δυτικὸν, δι᾽ οἵου. ἐν δὲ θέρει, τῆς πνοῆς ἀπολαίειν. ΗΛΙΟΥ ΔΙΠΛΗ ΕΝΘΑΚΗΣΙΣ. διπλῆ καθέδρα πρὸς ἡλίου θερμαινομένη. ΑΜΦΙΤΡΗΤΟΣ. τοῦ ἀμφοτέρωθεν τετρημένου. ΕΙΠΕΡ ΕΣΤΙ ΣΩΝ. ἤγουν, εἰ σώζεται. ΣΙΓΑ. σιωπηλῶς. ΕΧΕΙ. κατοικεῖ.

25. ΚΟΙΝΑ Δ' ΕΞ ΑΜΦΟΙΝ ΙΗι. πονοῦτο, διανόοιτο, προβαίνοι. ἢ ΕΙΗι. οἱ τραγικοὶ γὰρ τῇ ει διφθόγγῳ χρῶνται ἀντὶ βραχείας.

26. ΤΟΎΡΓΟΝ ΟΥ ΜΑΚΡΑΝ. οὐ μακρᾶς διδαχῆς, ἢ μακροῦ πόνου δεόμενον. ἤδη γὰρ εἰσεῖδον τὸ ἄντρον, ὃ λέγεις.

28. ΑΝΩΘΕΝ Η ΚΑΤΩΘΕΝ. ταπεινὸν ἢ ὑψηλόν.

[18. μὴ καὶ μάθῃ. Infra v. 46. μὴ καὶ λάθῃ. *Schæf.*]

14. τῷ. gl. ᾧ τινι τῷ σοφίσματι. Vide notam ad Œd. Col. 1259.

19. δ' ἀμφιτρῆτος. Mendose in Aldina ἀμφιτρῆρος.

21. σῶν. Sic editiones Aldi et Turnebi, ut et codd. omnes. gl. ἤγουν εἰ σώζεται. In Henr. Stephani editione legitur ζῶν, quod consultone an operarum errore invectum fuerit, nescio. Verum scio mendosissimum esse, siquidem sic senarius in spondeum desinit: nam vocalis ante ζ corripi non potest.

22. εἴτ' ἔχει. gl. κατοικεῖ. recte. πρὸς ἃ ἐλθὼν σῖγα, σήμαινέ μοι εἴτε κατοικεῖ— Sic Latinis *habere* valet *habitare*, qua significatione Plauto frequentatur, ut Bacchid. i. 2. *Quis istic habet?*

24. ὃς κλύῃς. Sic recte in B. Solœce alii et Impressi κλύοις.

25. κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ. Sic legisse scholiastam perspicuum est, siquidem diversæ lectionis meminit εἴῃ, quæ manifesto vitiosa est. Nam præterquam quod diphthongus ει semper producitur, optativus modus hic contra structuræ legem adhiberetur. Requiritur verbum subjunctivi modi, qualia sunt κλύῃς et φράζω.

26. τοὔργον οὐ μακρὰν λέγεις. Sensus is est profecto, quem in versione expressi, Græco enarratori haud perspectus: οὐ μακρὰν ὄν, vel ἄπον. Hæc fide

Digitized by Google

ΝΕ. τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς τύπος.
ΟΔ. ὅρα, καθ' ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
ΝΕ. ὁρῶ πενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ. οὐκ ἔνδον οἰκοποιός ἐστί τις τροφή;
ΝΕ. στειπτή γε φυλλὰς, ὡς ἐναυλίζοντί τῳ.
ΟΔ. τὰ δ' ἄλλ' ἔρημα, κοὐδὲν ἔσθ' ὑπόστεγον;
ΝΕ. αὐτόξυλόν γ' ἔπαωμα, φλαυρούργου τινὸς
ἀνδρὸς τέχνημα, καὶ πυρεῖ ὁμοῦ τάδε.
ΟΔ. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕ. ἰοὺ, ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ. ὦ νὴ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,

32. ΟΙΚΟΠΟΙΟΣ. *ἡ ἐν οἴκῳ γενομένη τροφή.*
33. ΣΤΙΠΤΗ ΓΕ ΦΥΛΛΑΣ. *χαμαιστρωσία ἐκ φύλλων, ἠπλωμένη καὶ πατουμένη, ὡς κοιμωμένου ἐπ' αὐτῇ τινός.* ΤΠΟΣΤΕΓΟΝ. *ὑπὸ τῇ στέγῃ.*
35. ΑΥΤΟΞΥΛΟΝ Γ' ΕΚΠΩΜΑ. *ποτήριον μονόξυλον, τέχνημα ἀνδρὸς φαύλως ἐργαζομένου, ὃ ἐστιν ἰδιώτου καὶ οὐ τεχνίτου.* ΠΥΡΕΙΑ. *πυρόβολα.* ΘΗΣΑΥΡΙΣΜΑ. *ἀπόθετον κτῆμα.*
38. ΙΟΥ. ΙΟΥ. *ὁρᾷ τὰ ῥάκη τοῦ τραύματος τοῦ Φιλοκτήτου ξηραινόμενα ἐν ἡλίῳ, καὶ ἐκπλήττεται, ὡς βαρέως αὐτοῦ νοσοῦντος.* ΒΑΡΕΙΑΣ ΝΟΣΗΛΕΙΑΣ. *νόσου βαρείας πεπληρωμένα, ἢ νοσοκομίας, ἢ τῆς ἐκ νόσου ἀκαθαρσίας.*

codicum nixa lectio, per se longe melior est illa quam commentus est editor nescio quis, *οὐ μακρόν*.

29. *στίβου γ' οὐδεὶς.* Sic T. In duobus aliis, ut in Aldina, *στίβου τ'*—

[30. *κυρῇ. κυρεῖ* mihi videri scribendum esse, dixi Melet. Crit. i. p. 115. Vulgatam scripturam tuetur Hermannus ad Viger. p. 777. *Schaef.*]

[32. *οὐδ'*. Brunckius *οὐκ*. *Schaef.*]

33. *στειπτή*. Scholiastes *στειπτὴ* habet, ut v. 2. *ἔστιπτος*. Eadem scriptura est in B. et apud Suidam. At Eustathius p. 778. *στειπτὴ* ex hoc loco citat, ut scriptum est in membr.

35. *αὐτόξυλον*. Vide Andromedæ fragm. vi. *φλαυρούργου*. Sic codd. veteres et Suidas. In Aldina mendose *φλαυλούργου*, ut etiam a prima manu scriptum in T. sed ex λ factum fuit ρ. Turnebus edidit *φαυλούργου*. In seq. v. scripti et impressi libri habent *τεχνήμαθ' ἀνδρός*. Pluralis numerus doctos viros meritò offendit; sed locum emendare dum conarentur, malum pejori malo sanaverunt. Quippe levius istud *τεχνήματα* feram, quam *τέχνημά τ'*; sive pro *τε*, sive pro *τοι* accipienda veniat particula, qua nullus hic usus est. Nec magis admittenda Toupii conjectura, Cur. Nov. in Suidam p. 70. *τέχνημα τἀνδρός*. Nam *τοῦ ἀνδρὸς* definite post indefinitum *τινὸς* plane inficetum est. Librarii malam manum quivis hic facile poterat agnoscere. Imperitus homo metro consulere voluit, quod laborare credidit. Scripserat Tragicus *φλαυρούργου τινὸς ἀνδρὸς τέχνημα*. Ille, ne spondeus esset in secunda senarii sede, ordinem invertit, et vitando hiatu scripsit *τεχνήματ' ἀνδρός*. Prima in *τέχνη* corripitur, ut quævis vocalis natura brevis ante asperatam et liquidam. Vide Aj. 1121. Œd. T. 357. et sic passim.

[36. *τεχνήματ' ἀνδρός*. Brunckius *ἀνδρὸς τέχνημα*. V. Porson. ad Euripid. Orest. v. 1051. *Schaef.*]

37. *θησαύρισμα*. gl. *ἀπόθετον κτῆμα*.
38. *θάλπεται*. gl. *ξηραίνεται*.
40. *ὦ νὴ κατοικεῖ*. Perperam vulgo *ἀνὴρ*.

Digitized by Google

κεἶσ' οὐχ ἑπάς που. πῶς γὰρ ἂν νοσῶν ἐνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακρόν ;
ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νάδυνον κάτοισθά που.
τὸν οὖν παρόντα πέρψον ἐς κατασκοπήν, 45
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.
ΝΕ. ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται στίβος.
σὺ δ', εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
ΟΔ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας 50
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ' ἤν τι καινὸν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.
ΝΕ. τί δῆτ' ἄνωγας ;
ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκπλεύψεις λέγων. 55

42. ΚΩΛΟΝ. πόδα. ΚΗΡΙ. νόσῳ. ΝΟΣΤΟΝ. ὁδόν. ΦΥΛΛΟΝ ΝΩΔΥΝΟΝ. βοτάνην τινὰ παυσώδυνον.

45. ΤΟΝ ΟΥΝ ΠΑΡΟΝΤΑ. ὡς παρισταμένου τινὸς αὐτοῖς τοῦτο λέγει. ΠΡΟΣΠΕΣΩΝ. ἀπαντήσας, ἐπιπεσών.

48. ΑΛΛ' ΕΡΧΕΤΑΙ. ἀπέρχεται, φησὶν, ὁ θεράπων εἰς κατασκοπήν. ΦΥΛΑΞΕΤΑΙ. φυλαχθήσεται παρ' ἡμῶν ἡ ὁδὸς αὐτοῦ.

[42. προσβαίη μακράν. *locum petat longe remotum. Schæf.*]

43. ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν. Philoctetæ alimentum præbebant aves et feræ, quas sagittis configebat. Atqui aves et feræ statis horis ad certa loca se conferre solent. Recte scholiastes ἐπὶ φορβῆς ὁδόν. At glossator, qui id minus intelligebat, exposuit ἐπὶ ζήτησιν φορβῆς. Hoc ipsum Ulyssem dicere debuisse videtur Toupius, qui Emendat. in Suidam iii. 336. reponit ἢ 'πὶ φορβῆς μαστήν. Nimis audacter. Hujus formæ verbalia frequentant Ionici poëtæ, qualia sunt ἑδητὺς, ὀρχηστὺς, θελκτὺς, πωρητὺς, et alia, sed Atticis fere inusitata sunt. [φορβῆς νόστος est νόστος (i. e. ὁδὸς) εἰς φορβήν. V. Melet. Crit. i. p. 90. Sic intellexit etiam Vauvillersius. "ἐπὶ φορβῆς νόστον" inquit "est *ad viam cibi*, id est, *ad cibum quærendum.*" Rarior hic usus genitivi. Homerus Il. iii. v. 406. θεῶν δ' ἀπόειπε κελεύθους. Quod imitatur Oraculum ap. Phlegont. Tralli. de Mirabil. c. 2. p. 32. Franz. τρίποδος δ' ἀπόειπε κέλευθον. Interprea: *mitte iter ad tripodes.* Sic Latine dicitur *via mortis* etc. V. Broukhus. ad Tibull. i. 11. 4. p. 194. *Schæf.*]

47. λαβεῖν. Perperam in membr. et in Aldina μολεῖν, unde Parisinus editor sinceram lectionem eruisse credit. Ἑαυτό γ', ἢ τοὺς πάντας Ἀργείους, μ' ἑλεῖν, Sed istud ἑλεῖν e barbarici specu arcessitum, non e puris Græcæ linguæ fontibus. ἁλέω, ὁλεῖν sunt prorsus inusitata, nec usquam, nisi apud grammaticos, ubi de formatione temporum agitur, reperiuntur. μᾶλλον αἱρεῖσθαι est προκρίνειν, *malle.*

55. ἐκπλεύψεις. Sic emendate in R. Solæce vulgo ἐκκλέψῃς. ὅπως hic valet *quomodo*, ut infra 78. et pendet a suppresso verbo φροντίζειν, φράζεσθαι, vel

Digitized by Google

ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν, Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον·
πλεῖς δ' ὡς πρὸς οἶκον, ἐκλιτὼν τὸ ναυτικὸν
στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ' ἄλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων,
ἑλθόντι δοῦναι κυρίως αἰτουμένῳ·
ἀλλ' αὖτ' Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ' ἂν
θέλῃς καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτων γὰρ οὐδέν μ' ἀλγυνεῖς· εἰ δ' ἐργάσει
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχί, σοὶ δ', ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.

57. ΤΟΔ' ΟΥΧΙ ΚΛΕΠΤΕΟΝ. *τοῦτο γὰρ οὐχὶ ψευσόμεθα.* ΕΧΘΟΣ ΕΧΘΗΡΑΣ. *οἱ γὰρ ἐξ ἐνδς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους.* ΣΤΕΙΛΑΝΤΕΣ. *καλέσαντες.* ΤΗΝΔ' ΑΛΩΣΙΝ. *τὸ σὲ ἑλθεῖν εἰς Ἴλιον.* ΟΥΚ ΗΞΙΩΣΑΝ. *οὐκ ἄξιον ἡγήσαντο.* ΕΣΧΑΤ' ΕΣΧΑΤΩΝ. *αἰσχρότατα.*

68. ΕΙ ΓΑΡ ΤΑ ΤΟΥΔΕ ΤΟΞΑ. *προτρεπτικῶς εἰς τὴν συμμαχίαν, οὐ τὸν ἄνδρα, ἀλλὰ ψιλῶς τὰ τόξα ὠνόμασεν· εἰς δὲ τὴν πόρθησιν, τὸν Νεοπτόλεμον.*

simili. Immo, ni me fallit conjectura, verbum librariorum errore, potius quam poëtæ judicio, hic desideratur. Quid enim sibi vult post ἐκκλέψεις λόγοισι, participium λέγων?—*τὴν Φιλοκτήτου σε δεῖ Ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις σκοπεῖν.* Glossa in codd. ἐκκλέψῃς, ἀπατήσῃς. Ratio autem Philoctetam fallendi hæc erat, ut simularet Neoptolemus se Atridis infensum esse. Huc pertinet scholion, quod in editione Romana alio translatum fuit: *οἱ γὰρ ἐξ ἐνδς ἠδικημένοι, φιλοῦσιν ἀλλήλους.*

58. πλεῖς δ' ὡς πρὸς οἶκον. Abundat particula ὡς, quæ eleganter jungitur præpositionibus ἐπὶ et πρὸς motum significantibus. Familiare hoc Arriano in Alex. M. expeditione. Comicus in Equitum fine: *Κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην.*

60. οἵ σ' ἐν λιταῖς στείλαντες. Abundat præpositio ἐν, ut Œd. T. 821. Antig. 962. 1003. στείλαντες, simplex pro composito *μεταστείλαντες*—ἐξ οἴκων. Sic veteres codd. et Aldus, quod et Turnebus retinuit. In T. minus bene ἐξ οἶκον, quod ex Henr. Stephani editione in posteriores manavit.

61. μόνην ἔχοντες. Sic Aldus et veteres codd. Triclinius δὲ infersit.

63. ἑλθόντι δοῦναι. Id est ὅστε ἑλθόντι σοι δοῦναι.

64. λέγων. Pendet hic nominativus a λέγειν in v. 57. structura ad significatum, non ad verba, accommodata. Quippe istud λέγειν imperativus est, infinitivi forma, unde pendet etiam πλεῖς, suppressa particula ὅτι, nisi mavis e communi repetere λέγε δὲ ὅτι πλεῖς πρὸς οἶκον. Proinde difficultas ad quam offendit Vir doctus, quamque tollit legendo λέγ' οὖν, nulla est. Is est Fridericus Gedike, Gymnasii Rector Berolini, qui seorsum fabulam hanc edidit luculento commentario illustratam in tironum usum. Nullum est Tragici nostri drama, quod enarratorem tam peritum nactum fuerit.

Digitized by Google

σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενὶ,
οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου·
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
ὥστ', εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα, καὶ σὺ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν.
πάλμαι· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτὸν, κἄπτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.

NE. ἐγὼ μὲν οὖς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς, οὔθ', ὥς φασιν, οὐκφύσας ἐμέ.
ἀλλ' εἶμ' ἕτοιμος πρὸς βίαι τὸν ἄνδρ' ἄγειν,
καὶ μὴ δόλοισιν. οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.

72. ΟΥΤ' ΕΝΟΡΚΟΣ. ὄμοσαν γὰρ τῷ Τυνδάρεῳ πάντες Ἕλληνες συνελθόντες, ἢν ἁρπασθῇ ἡ Ἑλένη.

81. ΚΤΗΜΑ ΤΗΣ ΝΙΚΗΣ. αὐτὴν τὴν νίκην.

91. ΕΞ ΕΝΟΣ ΠΟΔΟΣ. ἡγοῦν χωλὸς ὤν.

[91. sq. Vid. Melet. Crit. i. p. 77. Schaef.]

84. δός μοι σεαυτόν. Terentius Adelphis: *Da te hodie mihi.*

86. Hos versus sic convertit Florens Christianus: *Ego vero, Ulysseu, dicta quæ non audiam Animo lubenti, facere semper oderim.* Eadem sententia Georg. Ratallerus ad hunc modum: *Quæ facta, Ulysse, audire animus horret, eadem Patrare morte acerbius duco.* Haud sane exspectabam aliquem exstiturum, qui has interpretationes falsi argueret, aliumque Græcis sensum inesse contenderet. Nuperus Parisinus editor nos docet ea sic verti debere: *Ea moliri odi, quorum famam rhetorum ægre ferrem.* plurimisque exemplis adstruit, quod vel pueris notum, κακῶς κλύειν significare *male audire*, id est, *vituperari*. Est hoc quidem certissimum: sed tam certum est illam significationem verbi κλύειν non magis hic locum habere, quam apud Comicum in Concion. 91. ἀκροᾶσθαι de fama accipi posse. Ibi mulier reprehensa, quod lanam in concionem ferret, ait: τί γὰρ ἂν χεῖρον ἀκροάμην ἔρια ξαίνουσα; *Quippini? num minus audiam rhetorum conciones, si lanam carpam?* Quid hoc, quæso, ad famam?

Digitized by Google

πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης, ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον, ἢ νικᾷν κακῶς.
ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ', εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.
ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;
ΟΔ. λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.
ΝΕ. τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;
ΟΔ. οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
ΟΔ. ἰοὺς ἀφύκτους, καὶ προπέμποντας φόνον.
ΝΕ. οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμίξαι θρασύ;
ΟΔ. οὔ· μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.

94. ΚΑΛΩΣ ΔΡΩΝ. ἀντὶ τοῦ ἀληθεύων. ΝΙΚΑιΝ ΚΑΚΩΣ. ἀντὶ τοῦ, μετὰ ψευδολογίας. θέλω, φησὶν, εἰπὼν τὸ ἀληθὲς ἀποτυχεῖν μᾶλλον, ἢ ἐξαπατᾷν τὸν ἄνδρα καὶ ἐπιτυχεῖν. εἰσάγει δὲ αὐτὸν ὁ Σοφοκλῆς τὸν τοῦ πατρὸς λόγον λέγοντα· (Ἰλ. ι'. 312.)

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ βάζῃ.

98. ΕΙΣ ΕΛΕΓΧΟΝ. εἰς πεῖραν τῶν πραγμάτων. ΤΗΝ ΓΛΩΣΣΑΝ, ΟΥΧΙ ΤΑ'ΡΓΑ. κρείσσονα τῶν ἔργων οὖσαν τὴν γλῶσσαν· τὴν ἀπάτην προηγουμένην, καὶ ἀνύουσαν ἅπαντα. διαβάλλει τοὺς καθ' ἑαυτὸν ῥήτορας ὁ ποιητὴς, ὡς διὰ γλώσσης πάντα κατορθοῦντος.

100. ΤΙ ΟΥΝ Μ' ΑΝΩΓΑΣ. ὃ θέλεις κέλευε, πλὴν τοῦ ψεύδεσθαι.

105. ΙΟΥΣ ΑΦΥΚΤΟΥΣ. ἄφυκτα γὰρ ἦν τὰ Ἡράκλεια βέλη, καὶ τοῦ σκοποῦ μὴ ἀποτυγχάνοντα, ἢ ἐπανερχόμενα εἰς ἑαυτόν.

106. ΟΥΚ ΑΡ' ΕΚΕΙΝΩι. οὐκοῦν οὐδὲ προσελθεῖν ἐκείνῳ εὐθαρσές ἐστι καὶ ἀσφαλές.

100. τί ἄλλο πλὴν confundit imperite Parisinus editor cum interrogationis formula Platoni frequentata ἄλλο τι ἤ. Legat auctorem Doctrinæ Particularum, qui formulas istas enucleate distinxit, et simul fidejussorem quærat, quo auctore credamus Græcum esse imperativum ἄνωγες. Ab ἀνώγημι novi ἀνώγηθι, ἄνωχθι. Verum ἄνωγες nusquam vidi. [τί οὖν. Porsoni canon (ad Euripid. Phœn. v. 892.) si recte habet, mendosa sunt etiam Aristophanis exempla Thesmophor. v. 992. et 994. nam illic Euripides τραγικῶς loquitur. *Schæf.*]

102. ἐν δόλῳ. Abundat præpositio ἐν, ut supra 60.

103. οὐ μὴ πίθηται. *Non persuadebitur.* Aoristus 2. subjunctivi cum particulis οὐ μὴ eamdem vim habet quam futurum indicativi. Euripides Herc. Fur. 720. Ὅδ' οὐ πάρεστιν, οὐδὲ μὴ μόλῃ ποτέ. *Nec adest, nec aderit unquam.* Comicus in Lys. 368. Κοὐ μή ποτ' ἄλλη σοῦ κύων τῶν ὄρχεων λάβηται. Fallitur Berolinensis editor, qui ista a suppresso verbo φοβέσμαι pendere ait. Diversa sunt μὴ οὐ et οὐ μή.

Digitized by Google

ΝΕ. οὐκ αἰσχρὸν ἡγῇ δῆτα *τὸ ψευδῆ λέγειν;
ΟΔ. οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν; 110
ΟΔ. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον ἐς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἆρ' ὁ πέρσων γ', ὡς ἐφάσκετ', εἰμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνα σοῦ. 115
ΝΕ. θηρατέ' οὖν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἕρξας, δύο φέρῃ δωρήματα.
ΝΕ. ποίω; μαθὼν γὰρ, οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔ. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
ΝΕ. ἴτω· ποιήσω, πᾶσαν αἰσχύνην ἀφείς. 120
ΟΔ. ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ ξυνήνεσα.

* τὰ ed. 1. 2.

109. ΤΟ ΣΩΘΗΝΑΙ. *τὴν σωτηρίαν. εἰ σωτηρία ἐκ τοῦ ψεύδους προσγίγνεται.*
110. ΒΛΕΠΩΝ. *νοῶν, λογισμὸν ἔχων. καὶ ἔστιν ἡ σύνταξις· πῶς οὖν ἀποβλέπων τις εἰς τὸ ψεῦδος, ἐρεῖ αὐτό;*
111. ΟΚΝΕΙΝ. *ἀποδειλιᾷν.*
113. ΑΙΡΕΙ. *πορθεῖ.* ΘΗΡΑΤΕΑ. *ληπτέα, ἄξια τοῦ θηραθῆναι.*
117. ΔΥΟ ΦΕΡΗ ΔΩΡΗΜΑΤΑ. *δύο τιμήματα ἀποφέρῃ.* ΠΟΙΩ. *ἀντὶ τοῦ, ποῖα, δυϊκῶς.*
119. ΣΟΦΟΣ *μὲν, διὰ τὸ κλέψαι·* ΑΓΑΘΟΣ *δὲ, διὰ τὸ πορθῆσαι. ἢ ὡς σοφοῦ μὲν ὄντος καθόλου τοῦ δολῶσαι δυναμένου· νῦν δὲ καὶ τοῦ δόλου ἀγαθοῦ ὄντος.* ΚΕΚΛΗΙ' ΑΜΑ. *ἀντὶ τοῦ, κεκλημένος εἴης.*
122. ΞΥΝΗΝΕΣΑ. *συνεθέμην.*

108. *τὸ ψευδῆ λέγειν.* Perperam libri omnes *τὰ ψευδῆ*— Sæpe in articulo, qui ex indole linguæ infinitivo adjungitur, lapsi sunt librarii, eumque mutato numero nomini tribuerunt. Sic in Creüsæ Fragmento ii. legimus etiam, invitis libris: *Καλὸν μὲν οὖν οὐκ ἔστι τὸ ψευδῆ λέγειν.* In Anacreontis Od. xi. ediderat Stephanus *τὰ τερπνὰ παίζειν*, ubi sermonis puritas flagitat *τὸ τερπνὰ παίζειν*, quæ est etiam tersissimi poëtæ manus.

111. *ἐς κέρδος.* In B. T. *πρὸς κέρδος.*

114. *ὁ πέρσων γ'.* In B. T. particula *γε* omissa.

116. In Aldina *θηρατέα γίγνοιτ' ἄν.* Sic etiam in membr. scriptum, appictis prosodiæ signis, indicantibus utrumque *a* produci. Nempe *θηρατέα* librarius ad Trojam referebat, glossa, quam exscripsi, satis inepta deceptus; *δυνατὴ ληφθῆναι, ἤγουν ἡ Τροία.* In B. *θηρατέα γένοιτ' ἄν.* Recte in T. *θηρατέ' οὖν.*

119. *κεκλῇο.* Optativus præteriti passivi. Formam hanc sæpe obliterarunt librarii. In Euripidis Heraclidis, ubi perperam editum *κεκτώμεθα*, legendum: *Μάτην γὰρ ἦβην δῆθέ γ' ἂν κεκτήμεθα.* Vide quæ notavimus ad Comici Lysistr. 235. 253. Mendose hic Aldus edidit *κέκλησ' ἅμα*, ut in membr. scriptum est: in duobus aliis *κεκλήσ'*— Turnebo debetur emendata lectio.

Digitized by Google

ΟΔ. σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου·
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρὼν,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῇτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόπον
μορφὴν δολώσας, ὡς ἂν ἄγνοια προσῇ·
οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένου,
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε·
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
Νίκη τ' Ἀθηνᾶ Πολιὰς, ἣ σώζει μ' ἀεί.

ΧΟΡΟΣ.

Τί χρὴ, τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον στροφὴ α'.
στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;

125. ΚΑΙ ΤΟΝ ΣΚΟΠΟΝ. *τὸν σκοπὸν τοῦτον πρὸς τὴν ναῦν ἀποστέλλω καὶ πάλιν ἐνταῦθα, ἐὰν καιρὸς καλῇ, καὶ ἐάν μοι δόξητε βραδύνειν.* ΩΣ ΑΝ ΑΓΝΟΙΑ ΠΡΟΣΗι. *ἵνα μὴ γνωσθῇ.* ΟΥ ΔΗΤΑ. *τοῦ Φιλοκτήτου ἀπατωμένου ἢ τοῦ ναυκλήρου δόλιά σοι διαλεγομένου καὶ ἀσυμφανῆ.* ΝΙΚΗ Τ' ΑΘΗΝΑ ΠΟΛΙΑΣ. *οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ Νίκη καλεῖται ἐν τῇ Ἀττικῇ.*

136. ΣΤΕΓΕΙΝ. *κρύπτειν.* ΥΠΟΠΤΑΝ. *ὕποπτον, ἀντὶ τοῦ, ἐμὲ φανερὸν γεγονότα, καὶ ἐλθόντα εἰς ὄψιν. ἢ τὸν Φιλοκτήτην, τὸν ὑφ' ἡμῶν κατασκοπούμενον.*

126. *δοκῆτέ τι.* Sic bene distinctæ voces in B. In ceteris perperam *δοκῆτ' ἔτι.*

127. *κατασχολάζειν.* gl. *βραδύνειν.*

128. *ναυκλήρου τρόπον.* Aldus et veteres codd. *τρόποις.* Naucleri ornatum describit Plautus in Milite iv. 4. 41. *Facito ut venias ornatus huc ornatu nauclerico. Causiam habeas fertugineam, culcitam ob oculos laneam: Palliolum habeas ferrugineum: nam is colos thalassicu'st: Id connexum in humero lævo, expapillato brachio; Præcinctus aliqui; assimulato quasi gubernator sies.*

129. *ἄγνοια* in casu recto. Sic scriptum in duobus veteribus codd. In T. *ἀγνοίᾳ*, ut in impreseis.

130. *ποικίλως αὐδωμένου. σοφιζομένου, δολίως διαλεγομένου.*

133. *Ἑρμῆς δ' ὁ πέμπων.* id est *πομπαῖος*, seu, ut semet ipse in Comici Pluto 1159. appellat, *ἡγεμόνιος.* Quod quidem Mercurii officium vulgo haud minus notum, quam illius *κλεπτοσύνη*, seu fallendi peritia, unde alterum illi cognomen inditum, *δόλιος.*

134. *Νίκη.* Scholion: *οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ Νίκη καλεῖται ἐν Ἀττικῇ.* Euripides Ione 1550. *Μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε Νίκην Ἀθηνᾶν Ζηνὶ γηγενεῖς ἔτι*— Victoriæ nomine cultæ Minervæ templum erat in arce: idcirco mulieres, quæ arcem occupaverant, in Comici Lysistr. 317. ejus implorant opem: *δέσποινα Νίκη ξυγγενοῦ.* Vide Meursii Att. Lect. i. 20. [Ἀθάνα. Vulgo Ἀθηνᾶ. V. Porson. ad Euripid. Orest. v. 26. *Schæf.*]

135. Aldus et veteres codd. *τί χρὴ, τί χρὴ, δέσποτά, μ' ἐν ξένᾳ ξένον*— contra metri rationem.

Digitized by Google

φράζε μοι. τέχνα γὰρ τέχνας
ἑτέρας προΰχει,
καὶ γνώμας, παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται. 140
σὺ δ', ὦ τέκνον, τόδ' ἐλήλυθε
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.

ΝΕ. νῦν μέν, ἴσως γὰρ τόπον ἰσχατιαῖς
προσιδεῖν ἐθέλεις, ὄντινα κεῖται, 145
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης, τῶνδ' ἐκ μελάθρων
πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν,
πειρῶ τὸ παρὸν θεραπεύειν.

ΧΟ. μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ, ἀντιστρ. α'. 150
φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα παιρῷ·
νῦν δ' ἐμοὶ λέγ' αὐλὰς ποίας

Ἄλλως. πρὸς τὸν ὑφορώμενον ἡμᾶς ἄνδρα τί δεῖ λέγειν, ἢ σιωπῶν; ΤΕΧΝΑ ΓΑΡ ΤΕΧΝΑΣ. τοῦτο ἐν τῷ καθόλου. ἡ γὰρ τέχνη, φησὶ, καὶ ἡ γνώμη τῶν βασιλέων προὔχει τῶν ἄλλων τεχνῶν. καὶ ἐν Οἰδίποδι· (530.) ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες, οὐχ ὁρᾷ. καὶ Ἡσίοδος· (Θεογ. 88.) τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες. ΠΑΡ' ΟΤΩι. ἐφ' ᾧ ἐστι τὸ θεῖον σκῆπτρον. ΞΕ Δ' ΕΛΗΛΥΘΕ. τοῦτο τὸ ἀξίωμα ἐκ προγόνων ἦλθεν εἰς σέ. δίκαιον οὖν σοι πείθεσθαι. ΚΡΑΤΟΣ ΩΓΥΓΙΟΝ. τὸ ἐξ ἀρχῆς τιθέμενον κράτος. ΥΠΟΥΡΓΕΙΝ. συνεργεῖν.

144. ΝΥΝ ΜΕΝ. νῦν μέν, φησὶν, εἰσελθὼν ὅρα τὸν τόπον. ἐπὰν δὲ ἔλθῃ, τότε σὺ τῶν μελάθρων ἀποστὰς, ὑπηρέτει μοι πρὸς τὴν παροῦσαν χρείαν. ΤΟΠΟΝ ΕΣΧΑΤΙΑΙΣ. τὸν ἐπὶ τῷ ἐσχάτῳ τόπον. ΠΡΟΧΩΡΩΝ. ὕστερ ἐγὼ προχωρῶ, οὕτως ἀκολουθῶν, πειρῶ μα θεραπεύειν ἀεί. κυρίως δέ ἐστιν ἀκούειν τὸ προχωρῶν, οἷον, ὡς ἂν ἐγὼ προστάσω, τοῦτον τὸν τρόπον ποιῶν.

150. ΜΕΛΟΝ ΠΑΛΑΙ. πρᾶγμα, φησὶ, μοὶ λέγεις ἐκ πολλοῦ μοι μεμεληκὸς, τὸ φρουρεῖν τὸ σὸν ὄμμα, καὶ τὴν ἀπὸ σοῦ εὐκαιρίαν. ἡ ΤΟ ΣΟΝ ΦΡΟΥΡΕΙΝ ΟΜΜΑ. ἀντὶ τοῦ, τὰ σὰ νεύματα φυλάττειν. ΕΝΕΔΡΟΣ. ἔνοικος. ΟΥΚ ΑΠΟΚΑΙΡΙΟΝ. οὐκ ἄτοπον, οὐκ ἄκαιρον. εὔκαιρον γάρ ἐστι τοῦτο μαθεῖν.

139. καὶ γνώμα. Sic bene Aldus et veteres codd. scilicet ἑτέρας γνώμας προὔχει. Sic in glossa expositum erat, unde librarius codicis B. vocem in textum intulit καὶ γνώμα γνώμας, metro reclamante. Harum quæ rejiciendæ erat, retinuit Triclinius, cujus lectio est καὶ γνώμας. [Malim καὶ γνώμα παρ' ὅτῳ τὸ θεῖον—. πάρα i. q. πάρεστι. Schaf.]

140. Διὸς σκῆπτρον. In Aldina σκῆπτρον. Scripserat forte poëta σκᾶπτον.

141. σὺ δ', ὦ τέκνον, τόδ' ἐλήλυθε. Sic veteres codices et Aldus: id est εἰς σέ. Triclinius mutavit sine causa. Dimeter est antispasticus. Pro ditrochæo in antistrophico est choriambus; pæona habet uterque in secunda sede.

144. τόπον ἐσχατιαῖς. In T. ἐσχατιᾶς, quod ad sensum perinde est. Sed nulla erat causa, cur Triclinius veterem lectionem mutaret. ἴσως γὰρ προσιδεῖν ἐθέλεις τὸν ἐν ταῖς ἐσχατιαῖς τόπον, καθ' ὃν τινα κεῖται.

Digitized by Google

ἔνεδρος ναίει,
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μή με λάθῃ πελάσας ποθέν.
τίς τόπος, ἢ τίς ἔδρα; τίν' ἔχει στίβον;
ἔναυλον, ἢ θυραῖον;

NE. οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.

XO. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν;

NE. δῆλον ἐμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτᾶς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς σμυγερὸν σμυγερῶς,
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.

150. ΠΡΟΣΠΕΣΩΝ. προσπελάσας. ΕΝΑΥΛΟΝ Η ΘΥΡΑΙΟΝ. ἐντὸς ἢ ἐκτός. ἐγγὺς ἢ μακράν.

163. ΣΤΙΒΟΝ ΟΓΜΕΥΕΙ. ὄγμος μὲν, ἡ ἐπὶ στίχον φυτεία. νῦν δὲ ὀγμεύει ἀντὶ τοῦ, ἐφεξῆς πορεύεται.

166. ΣΜΥΓΕΡΩΣ. ἐπιπόνως. ΟΥΔΕ ΤΙΝ' ΑΥΤΩι. ἀντὶ τοῦ ἑαυτῷ. ΠΑΙΩΝΑ. θεραπείαν. ΕΠΙΝΩΜΑιΝ. ἐξευρίσκειν.

150. In fine hujus versus Aldus et veteres codd. duas voculas addunt, e prava glossa in textum illatas, τὸ σὸν, quas tam metrum quam sententia respuit. Pefellit hæc lectio scholiastam, cujus falsa est expositio, τὰ σὰ νεύματα φυλάττειν. Immo ad ὄμμα subauditur ἐμόν.

156. μή με λάθῃ πελάσας ποθέν. Quod in omnibus libris legitur προσπεσὼν, mendosum est, ut ex comparatione straphici versus liquet, et ex confusione glossæ cum genuina lectione ortum: ad πελάσας adscripta fuerat glossa προσπελάσας et e v. 46. προσπεσὼν. Voces postmodo permutatæ fuerunt a librariis.

161. ἔπεστιν. Sic emendate in B. In ceteris claudicat versus omissione ν paragogici.

166. σμυγερὸν σμυγερῶς. Mendose vulgo legitur στυγερὸν στυγερῶς. In scholiis malum malo cumulatum, quum adverbium per ἐπιμόνως exponatur. Scriptum oportuit σμυγερῶς, ἐπιπόνως. Hesych. σμυγερὸν, ἐπίπονον, οἰκτρὸν, μοχθηρόν. σμυγερῶς, ἐπιπόνως. Eustathius pag. 1463. ἔστι δὲ σμυγερῶς, τὸ ἐπιπόνως, ὀδυνηρῶς, καὶ ὡς εἰπεῖν, καυστικῶς. ἀπὸ τοῦ σμίχω τὸ καίω, ὅθεν τὸ σμύξαι πυρὶ νῆας. (Il. ι'. 649.) τοῦ δὲ σμύχω δεύτερος ἀόριστος ἔσμυγον, ὅθεν τὸ σμυγερόν. Nihil verius hac emendatione.

168. ἐπινωμᾶν. Scholiastes hic exponit ἐξευρίσκειν. In Antigona 130. exponitur idem verbum per ἐπιφέρειν. *Dividendi, distribuendi* significatione utitur eo Æschylus Eumenid. 810. Λάξαι τε λάχῃ τὰ κατ' ἀνθρώπους Ὡς ἐπινωμᾷ στάσις ἀμά. Id scholiastes bifariam exponit: τίνα τρόπον τὰ κατ'

Digitized by Google

ΧΟ. οἰκτείρω νιν ἔγωγ', ὅπως, στροφὴ β'.
μή του κηδομένου βροτῶν,
μηδὲ ξύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος αἰεὶ,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἰσταμένῳ. πῶς πο-
τέ, πῶς δύσμορος ἀντέχει;
ὦ παλάμαι θνητῶν,
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως ἀντιστρ. β'.
ἦκων οὐδενὸς ὕστερος.
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων,
στικτῶν ἢ λασίων μετὰ

169. ΟΙΚΤΕΙΡΩ ΝΙΝ. ἐλεῶ, φησὶν, αὐτὸν, πῶς δύναται διάγειν, μήτε συνοικῶν τινὶ, μήτε κηδεμόνα ἔχων, μηδέ τινος αὐτοῦ τῶν ἀνθρώπων κηδομένου. ΜΗΔΕ ΣΤΝΤΡΟΦΟΝ ΟΜΜΑ. μηδὲ ὁρῶν εἰς ἄνθρωπον σύνοικον. ΑΛΤΕΙ. ἀλγεῖ, ἀπορεῖ ἐπὶ παντὶ τῷ ἐν χρείᾳ γιγνομένῳ. ἤγουν ὑπηνίκα χρείας τινὸς καλέσῃ καιρὸς, ἀδημονεῖ, διὰ τὸ πάντων ἀπορεῖν.

177. Ω ΠΑΛΑΜΑΙ. ὦ τέχναι καὶ γνῶμαι. τοῦτο θαυμάζων τὸν Φιλοκτήτην φησὶ, πῶς μόνος ὢν ἐξευρίσκει τὰ πρὸς τὴν ζωὴν ἑαυτῷ. ΟΙΣ ΜΗ ΜΕΤΡΙΟΣ ΑΙΩΝ. οἷς ὁ βίος οὐκ ἔχει τῶν κακῶν μέτρον. ἢ οὕτως, οἷς μὴ σύμμετρος ὁ βίος καὶ ἐπαρκῶν.

180. ΠΡΩΤΟΓΟΝΩΝ. εὐγενῶν. ΗΚΩΝ ΤΣΤΕΡΟΣ. ἀντὶ τοῦ, ὑστερίζων. ΑΜΜΟΡΟΣ. ἄμοιρος. ἀντὶ τοῦ, ἔρημος νῦν κεῖται. ΣΤΙΚΤΩΝ Η ΛΑΣΙΩΝ. ποικίλων καὶ δασυτρίχων. ΑΘΥΡΟΣΤΟΜΟΣ. πολυλάλητος, μὴ εἰργομένη τοῦ φθέγγεσθαι. ἀθυρόστομον δὲ εἶπε τὴν ἠχὼ, ἐπεὶ πρὸς πάντας ἀντιφθέγγεται. ὁ δὲ νοῦς· ἀεὶ μὲν ὀδυρομένου αὐτοῦ, ἠχὼ πρὸς τὸν ὀδυρμὸν ἀντιφθέγγεται. ΤΗΛΕΦΑΝΗΣ. μηκοθεν φαινομένη διὰ τῆς φωνῆς. ἀντὶ τοῦ, οἰμώζει, καὶ τὴν ἠχὼ πόρρωθεν ἀνεγείρει.

ἀνθρώπους λάχῃ ἐφοδεύομεν. et ἐπινομᾷ, ἐπισκοπεῖ. Facile variæ interpretationes a simplicis potestate derivantur.

171. μηδὲ ξύντροφον. Sic ad metri rationem scribi debuit. Perperam Aldus et veteres codd. σύντροφον. Sinistra Triclinii emendatio est μηδ' ἀδ σύντροφον.

174. ἀλύει. gl. ἀλγεῖ, ἀπορεῖ.

181. ἦκων. Sic bene apud Suidam legitur in λασίοις. Tragici exemplaria habent οἴκων. In B. οἳ κοὐδενὸς, librarii errore, qui compendio scriptum ἦκων dispexisse non videtur. ἦκειν pro εἶναι eleganter adhibetur. οὗτος τῶν εὐγενῶν οὐδενὸς ὕστερος ἂν ἴσως. Sic in Æd. Tyr. 1519. Æd. Col. 1177. Aj. 637. ἦκειν nihil aliud valet quam εἶναι. Pro ἔχειν usurpari solet in eleganti formula εὖ ἥκειν τινὸς, in qua tamen istud verbum non nemini suspectum fuit. Vide notas ad Luciani imagines tom. ii. p. 469.

Digitized by Google

θηρῶν· ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα
μεριμνήματ' ἔχων· βαρεῖ-
α δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὑπακούει.

ΝΕ. οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
θεῖα γὰρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφρονος Χρύσης ἐπέβη.
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔστιν ὅπως οὐ θεῶν μελέτῃ,
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίᾳ
πεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὃδ' ἑξήκοι χρόνος, ᾧ λέγεται

191. ΟΤΔΕΝ ΤΟΥΤΩΝ. *οὐδὲν, φησὶ, τούτων θαυμαστὸν ἐμοὶ, ὅτι κακὰ πάσχει ὁ Φιλοκτήτης· ἐκ θεῶν γὰρ, ὡς οἶμαι, ταῦτα πέπονθε, καὶ τὸ πάθος ὑπέμεινε κατὰ βούλησιν τῶν θεῶν, ἵνα μὴ τὰ βέλη, εὐθέως ἐπελθόντος αὐτοῦ, πυρθήσῃ τὴν Τροίαν παρὰ τὸ εἱμαρμένον, ἀλλὰ ἐκδέξηται τὸν καιρόν.*

194. ΤΗΣ ΩΜΟΦΡΟΝΟΣ ΧΡΥΣΗΣ. *Χρύση, νῆσος πρὸ τῆς Λήμνου, ἔνθα διέτριβε Χρύση τις Νύμφη, ἡ ἐρασθεῖσα τοῦ Φιλοκτήτου, καὶ μὴ πείσασα, κατηράσατο αὐτῷ· διὸ καὶ ὠμόφρονα αὐτὴν ἐκάλεσεν.* Ἄλλως. *Χρύσης Ἀθηνᾶς ἄγαλμα οὕτω καλεῖται. ἔστι δὲ καὶ πόλις Χρύση πλησίον Λήμνου, ἔνθα ὑπὸ τοῦ ὄφεως ἐδήχθη, τὸν βωμὸν ζητῶν, ἐν ᾧ ἔθυσεν Ἡρακλῆς, ἡνίκα κατὰ Τροίας ἐστράτευσεν.* ΑΜΑΧΗΤΑ. *ἀνίκητα.* ΠΡΙΝ ΟΔ' ΕΞΗΚΟΙ ΧΡΟΝΟΣ. *αὐτὴν τὴν Τροίαν εἰς τὸν εἱμαρμένον πρὶν ἐλθεῖν χρόνον, ἐν ᾧ εἵμαρται αὐτὴν πορθηθῆναι.* Ωι ΛΕΓΕΤΑΙ. *ᾧ χρόνῳ.* ΤΠΟ ΤΩΝΔΕ. *τῶν βελῶν δηλονότι.*

190. Vulgo legitur *πικρᾶς οἰμωγᾶς ὑπάκειται*, quod quid sibi velit, nemo declaravit unquam. Quippe vetus enarrator quid sententia flagitet, exponit quidem; verum is verborum et inextricabilis structuræ nullam rationem reddit. Genitivi *πικρᾶς οἰμωγᾶς* a nomine *τηλεφανὴς* non pendent: verbum requirunt, a quo regantur: id esse non potest *ὑπάκειται*. Jam diu est quum emendavi *ὑτακούει*. Comicus in Nub. *Εὐφημεῖν χρὴ τὸν προσβύτην καὶ τῆς εὐχῆς ὑπακούειν.* ubi simpliciter valet *audire. Echo sola tristes ejulatus audit.* E consequenti sæpe usurpatur pro *respondere*, qua significatione etiam cum secundo casu construitur, ut apud Plutarchum in Camillo p. 310. *ὀργιζόμενοι τοῖς ἔχουσι τὸ Καπετώλιον, ὅτι καλούντων αὐτῶν οὐχ ὑπήκουον, ἀλλὰ καὶ προσβάλλουσι πληγὰς ἔδοσαν. quod prorocantibus non responderent.* non genitivus est absolutus, sed legitimus casus *καλούντων αὐτῶν*, a verbo *ὑπήκουον* pendens.

193. *καὶ τὰ παθήματα κεῖνα.* Minus bene vulgo *παθήματ' ἐκεῖνα*. Vide notam ad Aj. 233.

196. Luxatum hujus versus metrum in membr. ut in Aldina: *οὐκ ἔσθ' ὅπως οὐ θεῶν τοῦ μελέτῃ.* [Vid. Porsoni Addenda in Not. ad Euripid. Hecub. p. 104. ed. Lips. alter. *Schæf.*]

197. *ἐπὶ Τροίᾳ.* Triclinius, *ἐπὶ Τροίαν*.

[199. *ἑξήκοι.* Præstat, opinor, *ἑξήκῃ*. *Schæf.*]

Digitized by Google

χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι. 200

ΧΟ. εὐστομ' ἔχε, παῖ. στροφὴ γ'.

ΝΕ. τί τόδε;

ΧΟ. προὐφάνη κτύπος
φωτὸς σύντροφος, ὡς τειρομένου.

ΝΕ. ἦ που τῆδ' ἢ τῆδε τόπων;
βάλλει, βάλλει μ' ἐτύμα φθογγά 205
του, στίβου κατ' ἀνάγκαν
ἕρποντος· οὐδ' ἐμὲ λάθει βαρεῖα
τηλόθεν αὐδὰ τρυσάνωρ.
διάσημα *γὰρ θροεῖ.

ΧΟ. ἀλλ' ἔχε, τέκνον— ἀντιστρ. γ'. 210

ΝΕ. λέγ' ὅ τι.

ΧΟ. φροντίδας νέας.

* θροεῖ γὰρ ed. 1. 2.

201. ΕΥΣΤΟΜ' ΕΧΕ. εἰώθασιν οὕτω λέγειν, ἀντὶ τοῦ σιώπα. τὸ δὲ τοιοῦτο κεχίασται, ὅτι Ἑλλάνικός ποτε ἀναγινώσκων τὰ Ἡροδότου (II. 171.) ἔλεγε· Περὶ δὲ τῶνδέ μοι εὔστομα κείσθω. οὐ διαιρῶν εἰς δύο λέξεις, ἀλλ' ὡς ἄν τις εἴποι, ταῦτα ἔστω εὔστομα. τοῦτο δέ φησιν ὁ Χορὸς, κτύπον ἀκούσας ἐπερχομένου τοῦ Φιλοκτήτου, καὶ στένοντος ἐν τῇ πορείᾳ, διὰ τὸ ἄλγος.

203. ΚΤΤΠΟΣ ΦΩΤΟΣ ΣΥΝΤΡΟΦΟΣ. ἦχος φωνῆς τῆς συντραφείσης αὐτῷ. δῆλον δὲ, ὅτι κακῆς, καὶ οἰμωκτικῆς, ὡς κατὰ τὸ σύνηθες αὐτοῦ τειρομένου τῇ νόσῳ.

204. Η ΠΟΥ ΤΗΙΔΕ. ἆρα ὅδε, ἢ ἐνθάδε; ΦΘΟΓΓΑ ΤΟΥ. φθογγή τινος. ΣΤΙΒΟΥ. ἔξωθεν προσληπτέον τὴν ἐκὶ, ἴν' ᾖ, ἐκὶ στίβου. ΤΡΥΣΑΝΩΡ. ἐπίπονος, ἢ καταπονοῦσα τὸν ἄνδρα. ΔΙΑΣΗΜΑ. φανερά.

211. ΦΡΟΝΤΙΔΑΣ ΝΕΑΣ. τὸ ἑξῆς· ἔχε φροντίδας νέας. οἷον, καινότερόν τι βούλευσαι, ὅ τι πρὸς αὐτὸν ἐρεῖς. ΟΥΚ ΕΗΕΔΡΟΣ. οὐ μακρὰν, ἀλλ' ἐγγὺς, καὶ ἐκὶ τόπου. ΟΥ ΜΟΛΠΑΝ. οὐ βοῇ τερπόμενος σύριγγος, ὡς ποιμήν. ΑΛΛ' Η ΠΟΥ ΠΤΑΙΩΝ. ἀλλὰ τάχα προσκύπτων, ὑπὸ τῶν βασάνων βοᾷ· ἢ δύσορμον τὸν λιμένα ὁρῶν προβοᾷ ἡμῖν μὴ πελάζειν εἰς αὐτόν. Ὅμηρος· (Ἰλ. ω'. 753.) Λᾶας ἀμιχθαλόεσσαν. τὴν ἀπροσόρμιστον.

200. δαμῆναι. gl. πορθηθῆναι.

[203. Vid. Porson. l. c. *Schæf.*]

205. ἐτύμα. Perperam in membr. et in Aldina ἑτοίμα.

206. στίβου. Extrinsecus arcessendam præpositionem ἐκὶ monuit scholiastes. Hujus ellipsis exempla satis obvia. Sic in Electra 900. —ἐσχάτης δ' ὁρᾷ Πυρᾶς νεωρῇ βόστρυχον τετμημένον. ubi ἐσχάτης πυρᾶς pendet a suppressa ἐκί. Eodem modo explicari potest versus hujus dramatis 1181. Triclinius contra veterum librorum fidem dedit στίβον, quod quidem bonum est, et intelligendum per ellipsin præpositionis κατὰ, ut in Aj. 30. πηδῶντα πεδία.—κατ' ἀνάγκαν. gl. βιαίως, μετὰ στεναγμοῦ.

209. διάσημα γὰρ θροεῖ. Sic edidit Aldus veterum codicum fidem secutus. Versus asynartetus est ex anapæsto et antispasto. In antistrophico ditrochæus est pro diiambo. Temere vocum ordinem invertit Triclinius.

212. οὐκ ἑξεδρος, ἀλλ' ἔντοπος ὢν ἥρ. Sic omnino legendus hic versus, ex metri et sermonis lege; et sic fere citatur ab Aristophanis enarratore ad

Digitized by Google

οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ὢν ἠ̃ς,
οὐ μολπὰν σύριγγος ἔχων,
ὡς ποιμὴν ἀγροβόταις, ἀλλ' ἢ
που πταίων ὑπ' ἀνάγκας
βοᾷ τηλωπὸν ἰωὰν, ἢ ναὸς
ἄξενον αὐγάζων ὅρμον.
προβοᾷ γάρ τι δεινόν.

ΦΙΛΟΚΤΗΤΗΣ.

Ἰὼ ξένοι,
τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ
κατέσχετ', οὔτ' εὔορμον, οὔτ' οἰκουμένην;
ποίας πάτρας ὑμᾶς ἂν ἢ γένους ποτὲ
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί.

Aves 276. *οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ.* At Tragici exemplaria vocula longiorem versum exhibent; *ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔνταπος ἀνήρ.* Ratio metrica dimetrum anapæsticum flagitat, qualis est versus 203. Unde liquet illud *ὡς* sententiæ prorsus inutile, a mala manu additum fuisse. Tum *ἀνήρ*, quæ vox apud Nostrum priorem semper corripit, nude absque articulo certam atque definitam personam, de qua hic sermo est, designare non potest.

[In Tragici exemplaribus sic legitur hic versus: *Ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ.* Manifestum est lectionis vitium, quod metri ratio ostendit: quippe versus esse debet dimeter anapæsticus, qualem quidem eum concinnavit pro *ἔντοπος* substituendo *ἐγγύς*. Sed usquequaque falsa est hæc emendatio. Fefellit me opinio confusas hic fuisse lectiones et glossam. Sane si *ἐγγὺς* in textu lectum olim fuisset, nulli magistro venisset in mentem, adverbium hoc declarare per nomen *ἔντοπος*: rectum hoc bene declaratur per hanc glossam *ἐγγύς ἐστι τοῦ τόπου τούτου*. Tum venusta oppositio est nominum *ἔξεδρας* et *ἔντοπος*. Denique indefinitum *ἀνὴρ* indoli linguæ repugnat. Vera lectio est, quam me piget serius deprehendisse: *Οὐκ ἔξεδρος, ἀλλ ἔντοπος ὠ'νήρ.* Particula *ὡς* initio versus a mala manu est: absque ea versum hunc citat Scholiastes Comici ad Aves 276.]

214. *ποιμὴν ἀγροβόταις.* Minime prætulerim scripturam codicis B. *ἀγροβάταις.* In Euripidis Cyclope v. 64. nomen *ἀγροβότας* ab eruditis viris frustra solicitatur, eadem analogia formatum, qua *οἰοβότας* in Aj. 615. et ejusdem significationis compositum *ἀγρονόμος.*

216. *τηλωπόν.* Hesych. *μακρόθεν φαινόμενον.* Sensuum vocabula commutantur, et quæ visus propria sunt, aliis eleganter tribuuntur. Sic supra 202. *προὐφάνη κτύπος.* Perperam in membran. et in Aldina *τηλωπὰν.*

222. Veterum codd. et Aldi lectionem sequimur. Triclinius hic rursum nulla de causa verborum ordinem pervertit: *ποίας πάτρας ἂν ἢ γένους ὑμᾶς ποτε.*

223. Ἑλλάδος. gl. Ἑλληνικῆς. Ex Ajace Locro citatur Ἑλλὰς ἀνὴρ, quomodo ὕβρις ἀνὴρ dixit Hesiodus. Nomina primitiva, propria seu appellativa, adjectivorum instar cujusvis generis junguntur substantivis; cujus schematis exempla passim occurrunt. Mox 256. Ἑλλὰς γῆ.

Digitized by Google

φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄπνῳ
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον·
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον κακούμενον,
φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ', οὔθ' ὑμᾶς ἐμοῦ.
ΝΕ. ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν. τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙ. ὦ φίλτατον φώνημα. φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ', ὦ τέκνον, προσέσχε, τίς προσήγαγε
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.
ΝΕ. ἐγὼ γένος μέν εἰμι τῆς περιῤῥύτου
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος. οἶσθα δὴ τὸ πᾶν.
ΦΙ. ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;
ΝΕ. ἐξ Ἰλίου τοι δῆτα νῦν γε ναυστολῶ.
ΦΙ. πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ. ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;

226. ΑΠΗΓΡΙΩΜΕΝΟΝ. δεῖ γὰρ αὐτὸν ἐξηγριωμένον εἰσφέρειν τῇ ὄψει, καὶ τῷ σχήματι.

234. ΦΕΤ ΤΟ ΚΑΙ ΛΑΒΕΙΝ. θαυμαστικὸν μετ' ἐκπλήξεως τὸ ΦΕΤ ἐνταῦθα. λείπει δὲ τὸ στερηθῆναι. ΠΡΟΣΕΣΧΕ. προσορμίσαι ἐποίησεν. ΓΕΓΩΝΕ, εἰπέ. ΟΠΩΣ ΕΙΔΩ. ἵνα μάθω.

240. ΑΥΔΩΜΑΙ. λέγομαι.

246. ΠΩΣ ΕΙΠΑΣ. θαυμάζων φησὶν, ἐπεὶ μὴ εἶδεν αὐτὸν ἐξ ἀρχῆς στρατευσάμενον, ὅτε πάντες ὠκήγοντο Ἕλληνες.

228. *κακούμενον*. Libri omnes *καλούμενον* mendose. Has voces jam male commutatas vidimus in Œd. Col. 261. [*κακούμενον*. Conf. infra v. 471. *Schæf.*]

229. *προσήκετε*. Triclinius nescio quo prolubio, *προσήκατε*.

237. *τίς ἀνέμων ὁ φίλτατος*. Perperam in B. T. *τίς δ' ἀνέμων*— ut legit etiam Eustathius, qui hanc versus clausulam citat p. 1717. Frigeret hic connectiva particula.

241. *οἶσθα δὴ τὸ πᾶν*. Sic in membr. Vulgo *οἶσθ' ἤδη*—

Digitized by Google

ΦΙ. ὦ τέκνον, οὐ γὰρ οἶσθά μ', ὄντιν' εἰσορᾷς;
ΝΕ. πῶς γὰρ κάτοιδ', ὃν γ' εἶδον οὐδεπώποτε;
ΦΙ. οὐδ' οὔνομ', οὐδὲ τῶν ἐμῶν πακῶν πλέος
ἤσθου ποτ' οὐδέν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ. ὡς μηδὲν εἰδότ' ἴσθι μ', ὧν ἀνίστορεῖς.
ΦΙ. ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἰκάδε,
μηδ' Ἑλλάδος γῆς μηδαμοῦ, διῆλθέ
ἀλλ' οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ,
γελῶσι σῖγ' ἔχοντες· ἡ δ' ἐμὴ νόσος
ἀεὶ τέθηλε, κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρος ἐξ Ἀχιλλέως,
ὅδ' εἶμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης· ὃν οἱ
δισσοὶ στρατηγοὶ, χὠ Κεφαλλήνων ἄναξ,
ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς ἀνδροφόρου
πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι·
ξὺν ᾗ μ' ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε,
ᾤχοντ', ἔρημον, ἡνίκ' ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ' ἄσμενοί μ' ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ' ἐπ' ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,

254. ΠΙΚΡΟΣ ΘΕΟΙΣ. ἐχθρός. ΩΔ' ΕΧΟΝΤΟΣ. οὕτως δυστυχοῦντος.
257. ΑΛΛ' ΟΙ ΜΕΝ. οἱ Ἀτρεῖδαι.
264. Χ'Ω. ΚΕΦΑΛΛΗΝΩΝ ΑΝΑΞ. ὁ Ὀδυσσεύς. ΑΓΡΙΩι ΧΑΡΑΓΜΑΤΙ. δήγματι. τὸ γὰρ δῆγμα τοῦ ὄφεως μόνον χαράσσει. λέγεται γὰρ ὅτι βουλόμενος ἐν Λήμνῳ ἀναστῆσαι βωμὸν Ἡρακλεῖ παρὰ τὸν αἰγιαλὸν, ὑπὸ ὄφεως ἐπλήγη.
269. ΕΚ ΤΗΣ ΠΟΝΤΙΑΣ. τῆς θαλασσίας. ὅτε ἀπὸ Χρύσης ἦλθον εἰς Λῆμνον. ΕΚ ΠΟΛΛΟΥ ΣΑΛΟΥ. κινήματος, πόνου.

251. οὐδ' οὔνομ'— Mendose Aldus ὄνομ'— [οὔνομα Tragicis non eripiam. Conf. Markland. ad Euripid. Iphig. Taur. v. 36. Sed Comicos hac forma usos esse, recte, ut puto, negat Brunckius ad Aristophan. Av. v. 812. *Schæf.*]
[254. μόχθηρος. μόχθηρος scribebant οἱ ἀκριβέστεροι. Vid. Ammon. p. 96. et 116. Valcken. *Schæf.*]
[256. μηδαμοῦ—που. Pro μηδαμόσε —ποι. *Schæf.*]
258. σῖγ' ἔχοντες. Id est στεγάντες. Adverbium est σῖγα, et dicitur ἔχειν σῖγα, ut ἔχειν ἄτρεμα, ἔχειν ἡσύχως.
266. τῆς ἀνδροφόρου. Perpera libri omnes τῆσδ'—
268. ξὺν ᾗ. gl. τῇ νόσῳ.

Digitized by Google

λιπόντες ᾤχονθ', οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ, καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρὸν, οἷ' αὐτοῖς τύχοι.
σὺ δὴ, τέκνον, ποίαν μ' ἀνάστασιν δοκεῖς,
αὐτῶν βεβώτων, ἐξ ὕπνου στῆναι τότε;
ποῖ' ἐκδακρῦσαι; ποῖ' ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς, ἃς ἔχων ἐναυστόλουν,
πάσας βεβώσας, ἄνδρα δ' οὐδέν' ἔντοπον,
οὐχ ὅστις ἀρκέσειεν, οὐδ' ὅστις νόσου
κάμνοντι συλλάβοιτο. πάντα δὲ σκοπῶν,
εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν·
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαιν' ἐμοὶ,
κᾄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξεύρισκε, τὰς ὑποπτέρους
βαλλον πελείας· πρὸς δὲ τοῦθ', ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας

275. ΟΙ' ΑΥΤΟΙΣ ΤΥΧΟΙ. καταρᾶται. ΑΝΑΣΤΑΣΙΝ. λέγει νῦν τὴν ἐξ ὕπνου ἔγερσιν.

284. ΤΟΥΤΟΥ ΔΕ. τοῦ ἀνιᾶσθαι. ΕΥΜΑΡΕΙΑΝ. δαψίλειαν, ἄδειαν καὶ εὐκαιρίαν εὕρισκον πολλήν.

286. ΚΑΙ'ΔΕΙ. καὶ ἔδει με ἐμαυτῷ ὑπηρετεῖσθαι. ΤΑ ΣΥΜΦΟΡΑ. τὰ ἀναγκαῖα.

290. ΝΕΥΡΟΣΠΑΔΗΣ. ὁ ἐπισπώμενος τὴν νευράν. διὰ γὰρ τῶν γλυφίδων ἕλ-

[274. καί τι καὶ βορᾶς. Infra v. 308. καί πού τι καὶ βορᾶς. *Schæf.*]

281. νόσου. Sic Aldus. Perperam in veteribus codd. νόσον. Haud melius in Triclinii recensione νόσῳ. ξυλλαμβάνειν et ξυλλαμβάνεσθαι cum genitivo rei construuntur. Comicus Vespis 733. Νῦν δ' αὖ παρών τις ἐμφανής σοι τῶν θεῶν Ξυλλαμβάνει τοῦ πράγματος. Pace 437. Χῷστις προθύμως ξυλλάβῃ τῶν σχοινίων. Lysistrata 313. Τίς ξυλλάβοιτ' ἂν τοῖν ξύλοιν τῶν ἐν Σάμῳ στρατηγῶν;

285. διὰ χρόνου, *aliquantisper*, dum scilicet suffecerunt alimenta, quæ ei relicta fuerant.

286. βαιᾷ. Membr. et Aldus perperam βαιῇ.

290. αὐτὸς AN τάλας εἰλυόμην— ἐξέλκων πόδα πρὸς τοῦτ' AN—ταῦτ' AN ἐμηχανώμην—πῦρ AN οὐ παρῆν. Nihil utique notius usu particulæ ἂν conjecturali cum indicativo in narrationibus, qua significatur non tam res facta, quam quæ fieri potuit, aut fieri solet; ideo exprimitur per *fere*, *fortassean*, aut per verbum *soleo*. Ex unico Aristophane centena exempla excitari possint. Viros doctos quandoque fefellit hic particulæ usus, ut Reiskium, qui ad hæc Lysiæ verba p. 272. ἠγανάκτουν ἂν, *indignari solebam*, ἂν *sibi delendum videri* ait: *quia non dicit orator se indignaturum fuisse, sed indignari consuevisse*. Atqui hæc ipsa est ratio, cur ἂν addidit. Sic Chorus senum in Comici Vespis 268. ἀλλὰ πρῶτος ἡμῶν ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου. *Sed primus*

Digitized by Google

εἰλυόμην δύστηνος, ἐξέλκων πόδα
πρὸς τοῦτ' ἄν· εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,
ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ' ἐπορίζει, πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ', ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.

κεται. ΕΙΛΥΟΜΗΝ. ἑλκυσμὸν. εἵλυσις γὰρ ἡ πορεία καὶ ἡ κίνησις.

297. ΑΦΑΝΤΟΝ ΦΩΣ. καλῶς εἶπεν ἄφαντον. οὐ φαίνεται γάρ. ἀλλὰ δυνάμει αὐτὸ ἔχει ἡ πέτρα. ἢ ἀκροσθέκτον. ΟΙΚΟΥΜΕΝΗ ΣΤΕΓΗ. ἀντὶ τοῦ, ἡ οἰκία, ἡ μετὰ πυρὸς οὖσα, καλῶς διοικεῖται.

nostrum præire solebat. Magnifice hic se effert nuperus Parisinus editor, tanquam si ipse primus hunc Græcæ linguæ idiotismum observasset, incompertum vel ipsi Valckenario, virorum quotquot fuerunt Græce doctorum doctissimo. Verum exemplorum partim idoneorum, partim secus, quæ congessit plaustra, non obstabunt quin in Euripidis Phœnissis 412. longe melius dicat Polynices: Ποτὲ μὲν ἐν ἡμαρ εἶχον, εἶτ' οὐκ εἶχον αὖ. *Aliquando habebam in diem, aliquando rursus non habebam*: quam εἶτ' οὐκ εἶχον ἂν: *aliquando nihil habere solebam.* εἶτ' αὖ frequentant Attici poëtæ: et ἂν conjecturale, ea potestate quam definivi, rarius adhibetur in negativa propositione. Quod ἂν legatur in Philemonis versu ex Milite, inde argumentum petendum non erat; nam est ex Grotii interpolatione. Apud Athenæum legitur: Ἀλλ' οἷος ἦν ζῶν, κ' ὀπτὸς ὢν τοιοῦτος ἦν. Quod sane præstat, nisi verius sit, ut Bentleio visum, κ' ὀπτὸς αὖ τοιοῦτος ἦν. [τάλας—δύστηνος. Infra v. 744. δύστηνος, ὃ τάλας ἐγώ. Sic junxit Euripides Orest. v. 1580. τάλαιναν ἀθλίαν, quod contra Porsonum recte tuetur Erfurdtius in litteris ad me scriptis p. 571. *Schaf.*]

298. *καὶ που πάγου χυθέντος. Et si forte superfusæ essent terris pruinæ, ut hieme fieri solet.* Pessime Brunœus vertit: *Je rampais de même pour chercher de l'eau, et quand il falloit couper le bois qui m'étoit nécessaire, surtout dans les rigueurs de l'hiver, où l'isle est inondée.* Mediocriter Græce doctus erat ingeniosus ille Jesuita. Nec melior est Gallici scriptoris, qui nuper Philoctetam e Sophocleo expressum docuit, versio: *Des glaçons, dont l'hiver blanchissait ce rivage, J'exprimais avec peine un douloureux breuvage.* Sicque sententiam suam de hujus loci interpretatione exponit: *J'ai rapporté ces mots καὶ που πάγου χυθέντος, au vers précédent: εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν, et s'il fallait chercher quelque boisson*, et quidem glacie fusa, *que je ne trouvais que dans la glace fondue, et de même dans l'hiver ramasser du bois*, etc. *J'ai traduit οἷα par* de même, pariter, *comme fait le Scholiaste Latin qui a suivi le même sens.* Quis ille sit Latinus Scholiasta ignoro. Video Camerarium ista bene accepisse, nimirum Philoctetam dicere, *lignum sibi parandum fuisse adversus gelu, ut maxime hieme esse soleat*: meritoque illi damnatam fuisse nescio cujus alius interpretationem, qui πάγου pro *rupe* accepisse videtur. Ex Gallici illius scriptoris verbis liquet, aliud esse Græcas contaminare fabulas, aliud eas interpretari.

Digitized by Google

οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν.
τάχ' οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ.
οὗτοί μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μὲν, καί που τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν·
ἐκεῖνο δ' οὐδείς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
σῶσαί μ' ἐς οἴκους· ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ' Ἀτρεῖδαί μ', ἥ τ' Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ'· οἷς Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.

ΧΟ. ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.

ΝΕ. ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,
ὡς εἶσ' ἀληθεῖς οἶδα, συντυχὼν κακῶν
ἀνδρῶν Ἀτρειδῶν, τῆς τ' Ὀδυσσέως βίας.

303. ΕΞΕΜΠΟΛΗΣΕΙ. πωλήσει, πραγματεύσεται, ἐμπορεύσεται. ΞΕΝΩΣΕΤΑΙ. καταχθήσεται ὡς ξένος. ΤΟΙΣΙ ΣΩΦΡΟΣΙ. τοῖς συνετοῖς, τοῖς εὐτυχοῦσιν.

311. ΣΩΣΑΙ Μ' ΕΣ ΟΙΚΟΥΣ. ἀποφέρειν με εἰς τὴν πατρίδα.

316. ΑΝΤΑΠΟΙΝΑ. ἀμοιβαῖα.

317. ΕΟΙΚΑ ΚΑΓΩ. οἷον κἀγὼ ἐξ ἴσου ἐλεῶ σε τοῖς ἀφιγμένοις ἐνταῦθα. ὅσπερ, φησὶν, οἱ ἄλλοι ξένοι οἱ ἀφιγμένοι, περὶ ὧν λέγεις, οὕτω κἀγώ σε οἰκτείρω.

319. ΕΓΩ ΔΕ Κ'ΑΥΤΟΣ. κἀγὼ νῦν μάρτυς εἰμὶ τοῖς ὑπό σου λεγομένοις. ΩΣ ΕΙΣ' ΑΛΗΘΕΙΣ. οἱ σοὶ λόγοι δηλονότι. ΚΑΚΩΝ ΑΝΔΡΩΝ. περὶ τῶν Ἀτρειδῶν καὶ τοῦ Ὀδυσσέως.

316. *αὐτοῖς*, quia præcessit *οἷς*, Cantero suspectum fuit, qui illius vice *αὖτις* legendum esse credidit. Sed falsus est. Callimachus in Epigram. Ἄκρητος καὶ ἔρως μ' ἠνάγκασεν, ὧν ὁ μὲν αὐτῶν Εἶλκεν, ὁ δ' οὐκ εἶα σώφρονα θυμὸν ἔχειν. Itidem Menander in Epigr. in Themistoclem et Epicurum: Χαῖρε Νεοκλείδα δίδυμον γένος· ὧν ὁ μὲν ὑμῶν Πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

320. *συντυχὼν κακῶν ἀνδρῶν*. Constructionis ratio optime declaratur in nota, quam e membr. protuli: ΣΥΝΤΥΧΩΝ, οὐχ ἁπλῶς τυχών. ἐκεῖνο γὰρ δοτικῇ συντάσσεται. ἀλλὰ σὺν σοὶ τυχὼν τῶν κακῶν Ἀτρειδῶν. Conferri possunt minora scholia ad El. 283. et Triclinii nota ad Aj. 491. Frustra Toupius ad Suidam tom. i. p. 134. lectionem librorum vitiosam esse pronuntiat, et sic refingendam, *συντυχὼν κακοῖν ἀνδροῖν Ἀτρειδαῖν, τῇ τ' Ὀδυσσέως βίᾳ*. Nihil mutandum esse ostendi ad Euripidis Orestem 1291. Verbum compositum cum casu construitur, quem simplex regit, vel vacante, vel aliorsum pertinente præpositione.

Digitized by Google

ΦΙ. ἦ γάρ τι καὶ σὺ τοῖς παναλέθροις ἔχεις
ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;
ΝΕ. θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,
ἵν' αἱ Μυκῆναι γνοῖεν, ἡ Σπάρτη θ', ὅτι 325
χ' ἡ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙ. εὖ γ', ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν
χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;

324. ΘΥΜΩι ΓΕΝΟΙΤΟ. *εἴθε γένοιτό μοι ὠργισμένῳ ὁρμησις κατ' αὐτῶν, καὶ τὴν δύναμιν ἐνδείξασθαι, καὶ τιμωρῆσαι αὐτούς.*

324. Libri omnes nostri hunc versum sic scriptum exhibent: *Θυμῷ γένοιτο χεῖρα πληρῶσαι ποτέ.* Ex hac verborum structura qui bonum sensum elicere conabitur, meras nugas aget. Inepta est Heathii versio: *Iræ utinam contingat, ut manum aliquando tandem satiem.* Expressum vellem id quo manum suam non *satiare*, sed *implere* cupiat Neoptolemus. Nam *manum implere* absolute, nihil est. Idcirco Valckenarii conjecturam in Commentario ad Euripidis Phœn. p. 284. minus probo: *Εἴ μοι γένοιτο χεῖρα πληρῶσαί ποτε.* Pejor est adhuc Toupii interpretatio: *Utinam satis irasci liceat!* Quid quæso obstabat quin ad satietatem irasceretur? Haud sane video quid huic versui sit cum exemplis ab erudito Britanno excitatis ad Suidam iii. 130. Nulla alia est ratio eum interpretandi quam per hypallagen, quam viam inierunt interpretes præstantissimi. Florens Christianus: *Utinam hanc manu olim tester iracundiam!* Georgius Ratallerus: *O mihi utinam, quæ mente verso, manu exsequi liceat!* Camerarius: *Utinam concedatur mihi re ipsa et manibus explere iram meam!* Est hic profecto verus sensus: nec aliter ex vi sententiæ et affectu personæ verti poterat. Verum aliud Græca verba sonant, et hypallage quam commenti sunt, nimis esset absona. Permutationem hanc nemo sanus poëtæ tribuat, verum librarii seu Grammatici errori aut libidini. Scripserat Sophocles: *Θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε.* χειρὶ dativus est instrumenti. *πληρῶσαι θυμὸν, animi cupiditatem*, sive ultionis, sive cujusvis alius rei, *explere*, elegans locutio est, quam exemplis erudite illustrat Valckenarius ad Eurip. Hippol. 1327. *Κύπρις γὰρ ἦθελ' ὥστε γίγνεσθαι τάδε, Πληροῦσα θυμόν.* Noster in Œd. Col. 778. *Πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις.* Sic de videndi cupiditate Euripides in Androm. 1084. *ὄμματ' ἐξεπίπλαμεν.* Nihil verius hac emendatione, quam proposueramus olim ad Æschyli Persas 94. quamque lubenter vidimus viri eruditissimi Frid. Gedike calculo comprobari.

328. *τίνος χόλον κατ' αὐτῶν* ΕΓΚΑΛΩΝ *ἐλήλυθας*; Prægnans est phrasis pro *ἕνεκα τίνος τὸν χόλον ὧδε μέγαν κατ' αὐτῶν ἔχων, αὐτοῖς ἐγκαλῶν ἐλήλυθας*; Vel per metonymiam satis usitatam explicanda est, qua effectus pro caussa ponitur, *ira* pro *injuria*, quæ iram commovit. Haud absimile est illud in Œd. T. 702. *Δέγ', εἰ σαφῶς, τὸ νεῖκος ἐγκαλῶν, ἐρεῖς.* Virum longe omnium qui nunc sunt doctissimum offendit hæc locutio, cui vitium librarii errore subesse ratus, reponendum censet ΕΓΧΑΛΩΝ. *Quamnam ob caussam iræ in eos tam vehementi frena laxans venisti?* Sic Virgilius Æn. xii. *irarumque omnes effundit habenas.* Tametsi nemo est cujus auctoritas plus apud me valeat, quam præstantissimi illius viri, haud facile animum inducere queo *ἐγχαλῶν* a poëtæ manu esse. Parum me movet, quod compositi *ἐγχαλᾶν* haud innotuerit exemplum: satis id tuetur analogiæ ratio. Verum ubi *χαλᾶν τὴν ὀργὴν*, vel *χαλᾶν τῆς ὀργῆς* occurrunt, ut apud Comicum Vesp. 727. Av. 383. sensu plane contrario locutiones illæ adhibentur, pro *mollire, remittere iram:* proinde non video qui *ἐγχαλᾶν χόλον* significare possit *iram* intendere, seu *iræ habenas immittere*. Pro *γὰρ* Heathius scribendum censet *γ' ἄρ'*, frustra. In interrogationibus *γὰρ* connectivum

Digitized by Google

ΝΕ. ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ' ἐρῶ,
ἃ γωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν—
ΦΙ. οἵ μοι· φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
πρῶτον τόδ', εἰ τέθνηκ' ὁ Πηλέως γόνος.
ΝΕ. τέθνηκεν, ἀνδρὸς οὐδενός, θεοῦ δ' ὕπο
τοξευτὸς, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙ. ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε κἀθανών.
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
ΝΕ. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
ἀλγήματ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
ΦΙ. ὀρθῶς ἔλεξας. τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ', ὅτῳ σ' ἐνύβρισαν.
ΝΕ. ἦλθόν με νηὶ ποικιλοστόλῳ μέτα
δίος τ' Ὀδυσσεὺς κἀτροφεὺς τοῦ μοῦ πατρὸς,
λέγοντες, εἴτ' ἀληθες, εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμὸς, τὰ Πέργαμ' ἄλλον ἢ μ' ἑλεῖν.
ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντες, οὐ πολὺν
χρόνον μ' ἐπέσχον, μή με ναυστολεῖν ταχὺ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην.
ἔπειτα μέν τοι κἀτροφεὺς λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.

329. ΜΟΛΙΣ Δ' ΕΡΩ. ὑπὸ τῆς ὀργῆς δηλονότι.
334. ΘΕΟΤ Δ' ΤΠΟ ΤΟΞΕΥΤΟΣ. καὶ Ὅμηρος· (Ἰλ. φ'. 278.) λαιψηροῖσιν ὀλέσθαι Ἀπόλλωνος βελέεσσιν.
336. ΑΛΛ' ΕΥΓΕΝΗΣ. ἀντὶ τοῦ, ἀνδρεῖος, εἴγε καὶ γενναῖος ὁ εὐγενής.
339. ΟΙΜΑΙ ΜΕΝ. οἶμαι μέν σε ἱκανὸν ἔχειν κακὸν τὴν νόσον.
342. ΑΥΘΙΣ ΠΑΛΙΝ. τὸ χ, ὅτι δὶς τὸ αὐτὸ εἶπεν, ΑΥΘΙΣ καὶ ΠΑΛΙΝ.
351. ΟΥ ΓΑΡ ΕΙΔΟΜΗΝ. οὐκ εἶδον ζῶντα δηλονότι.

est et valet *igitur*. Exempla vide in Indice in Aristophanem.

[333. *εἰ*. Locellæ ἦ speciosum est: verum non dicam. Conf. infra v. 414. Œd. Col. v. 1585. *Schæf.*]

338. *ἐλέγχω*. gl. *ἐξακριβώσομαι*.

349. *μ' ἐπέσχον*. Mendose in membr. et in Aldina *μ' ἔπασχον*.

351. *ἄθαπτον, ante quam imponeretur rogo*. Vox illa in scholiorum editione Romana inepte exponitur per *ζῶντα*. Glossa, cujus vocilam tantum exscripserat Janus Lascaris, ad sequentia verba pertinet, *οὐ γὰρ εἰδόμην*.

Digitized by Google

ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
πατηγόμην· κἄμ' εὐθὺς ἐν πύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκ ἔτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ'. ἐγὼ δ' ὁ δύσμορος,
ἐπεὶ 'δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς, τά τ' ἄλλ' ὅσ' ἦν.
οἱ δ' εἶπον, οἵ μοι, τλημονέστατον λόγον·
Ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἐλέσθαι· τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος.—
κἀγὼ δακρύσας, εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ, καὶ καταλγήσας λέγω·
Ὦ σχέτλι', ἦ τολμήσατ' ἀντ' ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμὰ, πρὶν μαθεῖν ἐμοῦ;—
ὁ δ' εἶπ' Ὀδυσσεὺς, πλησίον γὰρ ἦν κυρῶν·

355. ΠΙΚΡΟΝ ΣΙΓΕΙΟΝ. *πικρὸν αὐτὸ λέγει, ἢ τοι διὰ τὸν θάνατον τοῦ Ἀχιλλέως, ἢ διὰ τὸ δυσχείμερον τοῦ τόπου.* ΟΥΡΙΩ ΠΛΑΤΗι. *τῷ εὐδίῳ πλῷ.*

363. ΟΙ Δ' ΕΙΠΟΝ, ΟΙΜΟΙ. *διὰ μέσου τὸ* ΟΙΜΟΙ *ἀποδυρόμενός φησιν.*

369. Ω ΣΧΕΤΛΙΕ. *πρὸς τὸν Ἀγαμέμνονα.* ΠΡΙΝ ΜΑΘΕΙΝ ΕΜΟΥ. *ἀντὶ τοῦ, πρὶν ἐμοῦ πυθέσθαι, καὶ σχεῖν τὸ ἐνδόσιμον.*

363. *τλημονέστατον λόγον.* Recte in El. 439. *τλημονεστάτη γυνὴ* exponitur *τολμηροτάτη, ἀναιδεστάτη.* Eadem hic obtinet significatio. In scholio pro *ἀποδυρόμενος*, scriptus liber habet *ἀπολοφυρόμενος.*

369. *ὦ σχέτλι', ἦ τολμήσατε.* Ineptissima est Heathii conjectura, *ὦ σχέτλιοι, ἦ*— Scilicet quia diphthongus *οι* elidi non potest. At vero non elidi*tur*, quippe qui hic nulla est. *σχέτλι'* plene est *σχέτλιε.* Quia verbum adest plurale *τολμήσατε*, non idcirco vocativus esse debet pluralis numeri. Alloqui potuit Neoptolemus Græcorum proceres apud Agamemnonem congregatos, et summum ducem vocativo compellare. Matrem et Achillem alloquitur Iphigenia apud Euripidem, et unicam matrem compellat: *μῆτερ, εἰσακούσατε τῶν ἐμῶν λόγων.* Infra 446. *ἤδη, τέκνον, στέλλεσθε*; Ridiculum esset rem notissimam multis exemplis adstruere. Vide quæ notavimus ad Comici Ranas 1479.

371. In veteribus codd. ut in impressis, scriptum *πλησίων γὰρ ἦν κύρει*, accentu indicante verbum esse temporis imperfecti, quod ne dubium esset, ex Triclinii præcepto scriptum in T. *ἦν 'κύρει*, tanquam si ε in consonante elidi posset. Sane res ipsa manifesto tempus imperfectum postulat: verum Attici poëtæ rarissime augmentum omittunt, nec erat hic licentiæ locus. Depravata fuit a librariis genuina lectio, quam restitui: *πλησίον γὰρ ἦν κυρῶν.* Sic infra 544. *Ἐκέλευσ' ἐμοί σε τοῦ κυρῶν εἴης φράσαι.* Verbum *κυρῶ* frequentius cum participio construitur, quod librario fraudi fuit. Sic verbum *τυγχάνω* cum participio construi solet:

Digitized by Google

Ναὶ, παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε.
ἐγὼ γὰρ αὖτ' ἔσωσα κἀκεῖνον παρών.—
κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὴς ποιούμενος, 375
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἦκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἃ 'ξήκουσεν, ὧδ' ἠμείψατο·
Οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.
καὶ ταῦτ', ἐπειδὴ καὶ λέγεις θρασυστομῶν, 380
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσεις ἔχων.—
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ,
πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον, ὡς τοὺς ἐν τέλει. 385
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων,
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν,
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς. ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἶῃ φίλος. 390

ΧΟ. ὀρεστέρα παμβῶτι Γᾶ, στροφή.

374. ΗΡΑΣΣΟΝ. ἔβαλλον, κατηρώμην, ὕβριζον. ΟΥΔΕΝ ΕΝΔΕΕΣ. οὐδὲν ὕβρεως παραλιμπάνων.

377. Ο Δ' ΕΝΘΑΔ' ΗΚΩΝ. ἡ τοι εἰς ὀργήν. ΟΥΚ ΗΣΘ' ΙΝ' ΗΜΕΙΣ. τότε, φησὶν, ἡνίκα τοῦ Ἀχιλλέως προεκινδυνεύομεν, οὐ παρῆς ἔνθα ἔδει σε παρεῖναι· ἀλλ' ἀπῆς, ὅπου οὐκ ὤφειλες.

381. ΕΚΠΛΕΥΣΗΙΣ ΕΧΩΝ. λείπει τὰ ὅπλα. ΤΗΤΩΜΕΝΟΣ. ἐστερημένος.

385. Κ'ΟΥΚ ΑΙΤΙΩΜ' ΕΚΕΙΝΟΝ. οὐ μέμφομαι, φησὶ, τοσοῦτον τῷ Ὀδυσσεῖ, ὅσον τοῖς περὶ Ἀγαμέμνονα· αὐτοὶ γὰρ πάντων κρατοῦσι. καὶ ἐν αὐτοῖς ἦν τὸ ἐμὲ τὰ ὅπλα λαβεῖν. ΟΙ Δ' ΑΚΟΣΜΟΥΝΤΕΣ. οἱ ἄτακτα ἐργαζόμενοι, κακῶς φρονοῦντες, ὅστερ ὁ Ὀδυσσεὺς κακῶς φρονεῖ. ὅταν γὰρ οἱ βασιλεῖς κακῶς φρονῶσι, κακῶς δηλονότι καὶ οἱ ὑπήκοοι.

391. ΟΡΕΣΤΕΡΑ. ὀρεία. ἡ αὐτὴ ἐστι Ῥέα καὶ γῆ. ἐν δὲ τοῖς ὄρεσι τὰ μυστήρια αὐτῆς γίγνεται. ΠΑΜΒΩΤΙ. πολύτροφε, πάντας τρέφουσα. παρὰ τὸ Ὁμηρικὸν (Ἰλ. β'. 548.) ζείδωρος ἄρουρα. διὰ δὲ τὸ ταύτην τὴν θεὸν τιμᾶσθαι παρὰ Φρυξὶ, πρὸς αὐτὴν τὸν λόγον ποιεῖται. ΠΑΚΤΩΛΟΝ ΕΤΧΡΥΣΟΝ. Πακτωλὸς, ποταμὸς

tamen in Œd. Col. 1490. ejus participium verbo junctum occurrit: ἦν περ τυγχάνων ὑπεσχόμην, pro ἦντερ ἔτυχον ὑποσχόμενος. [Vid. Porson. ad Euripid. Med. v. 1138. *Schæf.*]

377. δύσοργος. gl. μάχιμος, ὀργίλος. —δηχθεὶς, λυπηθείς.

380. καὶ ταῦτα, scilicet τὰ ὅπλα ἔχων οὐ μήποτε ἐκπλεύσεις ἐς τὴν Σκῦρον. Solœce vulgo legitur ἐκπλεύσῃς.

383. τητώμενος. gl. ἐστερημένος.

385. κοὐκ αἰτιῶμαι κεῖνον. In B. scriptum minus bene αἰτιῶμ' ἐκεῖνον.

Digitized by Google

μᾶτερ αὐτοῦ Διὸς,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀμὲ, μᾶτερ
πότνι', ἐπηυδώμαν,
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν
ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύ-
χεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων λεόντων
ἔφεδρε, τῷ Λαερτίου
σέβας ὑπέρτατον.

ΦΙ. ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης, πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,
καὶμοὶ προσάδεθ' ὥστε γιγνώσκειν, ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν.
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ'· ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.

ΝΕ. οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἂν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.

ΦΙ. πῶς εἶπας; ἀλλ' ἦ χ' οὗτος οἴχεται θανών;

ΝΕ. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.

ΦΙ. οἴ μοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,

Λυδίας, ἔνθα ἡ Ῥέα τιμᾶται. χρυσᾶ δὲ ψήγματα ἀπὸ τοῦ Τμώλου τοῦ ὄρους διὰ τοῦ Πακτωλοῦ καταφέρεται. ΣΕ ΚΑΙ'ΚΕΙ. καὶ τότε σε ἐπεκαλούμην, ἢ ἐπεκαλεσάμην, τιμωρήσασθαι τοὺς περὶ Ἀγαμέμνονα, ὅτε προεδίδοσαν τὰ ὅπλα τοῦ Ἀχιλλέως. καὶ νῦν δὲ καλῶ, ἵνα τούτους τιμωρήσῃ. ΟΤΕ ΤΑ ΠΑΤΡΙΑ. τὸ ἐξῆς· ὅτε τὰ πατρικὰ ὅπλα παρεδίδοσαν τῷ Λαερτίου, υἱῷ δηλονότι. ΛΕΟΝΤΩΝ ΕΦΕΔΡΕ. ἐπὶ ἅρματος γὰρ λέοντων ὀχεῖται ἡ Ῥέα. ΣΕΒΑΣ ΤΙΠΕΡΤΑΤΟΝ. ὃ Ῥέα. ἢ νοητέον ἐπὶ τῶν ὅπλων.

405. ΠΡΟΣΑΙΔΕΤΕ. *συμφωνεῖτε.*

416. Ο ΤΥΔΕΩΣ ΓΟΝΟΣ. σὺν Ὀδυσσεῖ γὰρ αὐτὸν ἐξέβαλε Διομήδης. ΣΙΣΥ-

395. *ἐπηυδώμαν.* Sic Aldus et veteres codd. Triclinius stolido prolubio dedit *ἐξηυδώμαν.*

398. *τὰ πάτρια τεύχεα.* Scholiastes exponit *τὰ πατρικά.* Harum vocum differentiam statuunt Grammatici, quam Pollux haud magis Tragico nostro agnovisse videtur. Sic enim ille libro ii. cap. 2. *περὶ γονέων. ἡ δὲ διὰ τούτων κτῆσις, πατρῴα, πατρικὴ, πάτριος.* Vim

Digitized by Google

οὐδ' ὀυμπόλητος Σισύφου Λαερτίῳ,
οὐ μὴ θάνωσι; τούσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕ. οὐ δῆτ'· ἐπίστω τοῦτό γ'. ἀλλὰ καὶ μέγα
θάλλοντες εἰσι νῦν ἐν Ἀργείων στρατῷ.
ΦΙ. τί δ'; ὃς παλαιὸς, καὶγαθὸς, φίλος τ' ἐμὸς,
Νέστωρ ὁ Πύλιός, ἐστιν; οὗτος γὰρ τά γε
κείνων κάκ' ἐξήρυκε, βουλεύων σοφῶς.
ΝΕ. κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν
Ἀντίλοχος αὐτῷ φροῦδος, *ὃς παρῆν μόνος.

* ὅσπερ ἦν ed. l. 5.

ΦΟΥ ΛΑΕΡΤΙΟΥ. ἐκ Σισύφου γὰρ κύουσα ἡ Ἀντίκλεια ἐγαμήθη Λαέρτῃ. καὶ διὰ τοῦτό φησιν αὐτὸν ὅσπερ πεπρᾶσθαι, ἐπειδὴ Λαέρτης πολλὰ δοὺς χρήματα, ἠγάγετο τὴν Ἀντίκλειαν. τὸ χ δὲ, ὅτι πάλιν Λαερτίου κτητικὸν, ἀντὶ πρωτοτύπου Λαέρτου.

423. ΚΑΚ' ΕΞΗΡΥΚΕ. γράφεται ΚΑΙ'ΞΕΚΗΡΥΞΕ.

425. ΟΣΠΕΡ ΗΝ ΜΟΝΟΣ. οἱ μὲν γράφοντες ΜΟΝΟΣ, παρ' ἱστορίαν φασίν. εἶχε γὰρ καὶ ἄλλους. οἱ δὲ ΓΟΝΟΣ, τῷ ποιητῇ ἀκολουθοῦντες λέγουσιν.

præpositionis in παρεδίδοσαν argute declarat glossa: ἡ παρὰ τὸ ἄλογον καὶ ἄδικον δηλοῖ.

417. οὐδ' ὀυμπόλητος Σισύφου Λαερτίῳ. Id est οὐδὲ ὁ Σισύφου υἱὸς ἐμπόλητος Λαερτίῳ. Quia scilicet ex furtivo Sisyphi compressu gravidam Anticleam duxerat Laërtes. Perperam vulgo legitur Λαερτίου, cui lectioni nostra in membr. superscripta. Fallitur Scholiastes, quum ait Λαέρτιος possessivum esse pro primitivo. Duplex forma est hujus nominis, utraque primitiva. Eustathius ad Homerum p. 13. διφορεῖται γὰρ τοῦτο. καὶ οὐ μόνον Λαέρτης λέγεται, ἀλλὰ καὶ Λαέρτιος, ὡς δηλοῖ καὶ Σοφοκλῆς. Hanc formam adhibitam videmus solum, ubi alteram metri lex non admittit. Spreta veterum librorum auctoritate, Triclinius differentiam illam sunque deque habuit. Supra v. 366. Λαρτίου dedit, ubi nos ex antiquitatis fide, Ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος. Eamdem interpolationem ab eo factam fuisse in Aj. 1393. observavimus.

421. τί δ'; ἔστιν— *Quid vero? Nestor—vivitne?* Comicus in Pace 700. Τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν; ad quem locum vide quæ notavimus.

423. κάκ' ἐξήρυκε. Glossa in T. ἐξέβαλεν. ἀπὸ τοῦ ἐρύω τὸ ἕλκω. Quid in aliis libris repererit auctor scholiorum, non assequor: sane lectio quam profert κἀξεκήρυξε locum habere non potuit.—βουλεύων σοφῶς. In T. σοφά. Appositæ duæ diversæ lectiones, σοφῶς, σαφῶς. Posteriorem, eamque pessimam, adripuit Turnebus.

425. ὃς παρῆν μόνος. Duplex fertur hujus loci lectio, utraque mendosa. Nimis ineptum est, quod libri exhibent, ὅσπερ ἦν γόνος. Tolerabilior est aliquanto lectio Scholiastæ memorata, ὅσπερ ἦν μόνος, nec tamen admittenda. Ignorat omnia quæ ad Trojam gesta fuere, quibus non interfuit Philocteta: horum si quæ narrat Neoptolemus, quidvis ei fingere licet, quo facilius illum decipiat. In Nestorem non ignorat Philocteta, quem amicum suum appellat, quem Aulide viderat, ante quam solveret classis, quicum usque in Lemnum navigaverat: sciebat profecto plures uno eum filios habere. Præterea in re notissima Homeri auctoritatem, quem vide Od. γ'. 413. deseruisse censendus non est Sophocles, unicum Nestori filium tribuendo. Latebat menda, quam prius me deprehendisse eo magis miror, quo frequentior est in libris. Scripserat Tragicus ὃς παρῆν, unde librarii negligentia fecit ὅσπερ ἦν. Solum patri adfuisse Antilochum, est

Digitized by Google

ΦΙ. οἵ μοι, δύ' *αὐτὼ δεῖν' ἔλεξας, οἵν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ, φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', Ὀδυσσεὺς δ' ἐστὶν αὖ καὶνταῦθ', ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν; 430
ΝΕ. σοφὸς παλαιστὴς κεἶνος· ἀλλὰ χ' αἱ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμπεδίζονται θαμά.
ΦΙ. φέρ' εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χ' οὗτος τεθνηκὼς ἦν· λόγῳ δέ σε βραχεῖ 435
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἴρει πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν πυρεῖ. 440
ΝΕ. ποίου δὲ τοῦτο, πλήν γ' Ὀδυσσέως, ἐρεῖς;
ΦΙ. οὐ τοῦτον εἶπον. ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου

* αὖτως ed. 1. 2.

426. ΔΥ' ΑΥΤΩΣ ΔΕΙΝ' ΕΛΕΞΑΣ. *γράφεται* ΔΥ' ΑΥΤΩ Δ' ΕΞΕΔΕΙΞΑΣ. *δυϊκῶς.*

429. ΚΑΝΤΑΥΘ'. *ἐν τοῖς ζῶσι.*

431. ΣΟΦΟΣ ΠΑΛΑΙΣΤΗΣ. *σοφὸς μέν ἐστιν, ἀλλ' οὐ διόλου ἔσται. αἱ γὰρ τοιαῦται γνῶμαι καταβάλλονται πολλάκις.*

443. ΟΣ ΟΥΚ ΑΝ ΕΙΛΕΤ'. *ἀντὶ τοῦ,* ἃ *οὐκ ἤθελέ τις ἅπαξ ἀκοῦσαι, ταῦτα πολλάκις ἔλεγε.* ΜΗΔΕΙΣ ΕΩΝ. *γράφεται* ΕΩΙΗ.

quidem præter historiæ fidem, siquidem Thrasymedes cum patre Pylum reversus est; sed eum superstitem esse ignorat Philocteta, nec dolo quem struit Neoptolemus obstat, si eum quoque perüisse innuat, quo magis animum Philoctetæ commoveat. Quam pravæ lectioni tutelam commentus fueram, *μόνος* accipi posse pro *ἀγαπητὸς*, ut hoc vice versa *unicum* quandoque notare observatum fuit, eam pluma leviorem esse fateor.

426. *δύ' αὐτὼ δεῖν'* ἔλεξας. Sinceram hanc lectionem servavit Scholiastes. Inde ortæ depravationes *δύ' αὖτως* et *δύ' αὐτὸς*, quorum posterius sola Stephani editio exhibet. *δεινὰ λέγειν τινὰ* notissima est phrasis, pro *δεινὰ λέγειν περί τινος.* [Vid. Porson. ad Phœniss. v. 539. *Schæf.*]

434. *ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα.* Libri omnes *ὅς σοι πατρὸς*— Verissimam Hemsterhusii emendationem recepi, quem vide ad Lucianum tom. i. p. 147. *σοι* ab oscitante librario repetitum videtur e præcedente versu, et hic valde esset invenustum. Præstat *σοῦ πατρὸς*, ut Trach. 85. *Καὶ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος.* et El. 1222.— *τήνδε προσβλέψας' ἐμοῦ Σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.*

437. Confer fragmentum Phrygum.

441. *ποίου δὲ τοῦτο.* In Aldina et in membr. *ποίου τε τούτου.* In duobus aliis *ποίου γε τούτου.* Mendosum utrumque.

Digitized by Google

μηδεὶς ἐφῇ· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕ. οὐκ εἶδον αὐτὸν, ἠσθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέπω κακόν γ' ἀπώλετο.
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες·
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν, τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. ἐγὼ μὲν, ὦ γένεθλον Οἰταίου πατρὸς,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι.
ὅπου γ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει,

445, ΕΤ' ΟΝΤΑ ΝΙΝ. *τοῦτο παρ' ἱστορίαν. λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀνῃρῆσθαι, καθ' ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν ἀνεῖλε. φονευθείσης γὰρ ὑπὸ Ἀχιλλέως τῆς Πενθεσιλείας, ὁ Θερσίτης δόρατι ἔκληξε τὸν ὀφθαλμὸν αὐτῆς. διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς κονδύλῳ αὐτὸν ἀνεῖλε. λέγεται γὰρ καὶ μετὰ θάνατον ἐρασθῆναι αὐτῆς.*

446. ΕΠΕΙ ΟΥΔΕΠΩ. *συνίζησις.* ΠΑΛΙΝΤΡΙΒΗ. *τετριμμένα τοῖς κακοῖς.* ΑΝΑΣΤΡΕΦΟΝΤΕΣ ΕΞ ΑΙΔΟΥ. *σώζουσιν ἐξ Ἅιδου τοὺς ἐκτριπτους καὶ δολερούς.* ΤΑΥΤΑ. *τὰ γιγνόμενα.* ΤΑ ΘΕΙΑ. *ἔργα δηλονότι. νοσῶν δὲ δυσφημεῖ.*

453. ΟΙΤΑΙΟΥ ΠΑΤΡΟΣ. *ὄρος τῆς Τραχῖνος ἡ Οἴτη.* Τραχίνιος δὲ ἦν καὶ Μηλιεὺς ὁ Φιλοκτήτης. ΟΠΟΥ Γ' Ο ΧΕΙΡΩΝ. *ὅπου ὁ κακὸς πλέον ἰσχύει.* Χ'ΩΙ ΔΕΙΝΟΣ ΚΡΑΤΕΙ. *καὶ ὁ κακὸς νικᾷ τὸν ἀγαθόν.* Ἡσίοδος· (Ἔργ. 193.) *βλάπτει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα.* καὶ Ὅμηρος· (Ἰλ. α'. 576.) *ἐπεὶ τὰ χερείονα νικᾷ.*

443. Thersitæ indolem describit Homerus: Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολώα, Ὅς ῥ' ἔπεα φρεσὶν ἦσιν ἄκοσμά τε πολλά τε ἧδη, Μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν. Ἀλλ' ὅ τι οἱ εἶσαιτο γελοΐιον Ἀργείοισιν Ἔμμεναι. Ad quem locum sic Eustathius: Σοφοκλῆς τὸν τοιοῦτον Ὁμηρικὸν νοῦν παραφράζων, φησὶ περὶ Θερσίτου, ὅτι οὐκ ἂν εἵλετο εἰσάπαξ εἰπεῖν, ὅπου μηδεὶς ἐφῇ. τουτέστιν οὕτω θρασὺς ἦν, ὥστε καὶ κωλυόμενός τι λέγειν, ὡς μὴ δέον ὂν λέγεσθαι, ὁ δὲ τὸ αὐτὸ πολλάκις ἐλάλει. Quod autem mox sequitur in Neoptolemi responso, vivere adhuc Thersiten, id poëtæ fingere licuit, ut inde ansam arriperet Philocteta Fati injustitiam expostulandi. At revera, ut scholiastæ observatum, e vita excesserat tunc Thersites ab Achille interemptus, cujus iram in se concitaverat petulanti objurgatione. Rem narrat Quintus Calaber *Paralipom.* i. 720.

446. ἔμελλ'— gl. ἔοικε. E proximo ὄντα repetendum εἶναι. ἔμελλεν εἶναι αὐτός. In ἐπεὶ οὐδέπω coalescunt ει ου in unam syllabam. Aliter visum librario codicis T. qui scripsit ἐπεί γ' οὔπω. Nolebat forte anapæstum esse in secunda sede.

447. περιστέλλουσιν. gl. περικαλύπτουσιν. Hesych. περιστέλλει, σκέπει, φυλάττει. Idem: παλιντριβῆ, κακεντρεχῆ. Ad quam glossam videndus interpres.

453. γένεθλον. Perperam Aldus γένεθλιον.

456. ὅπου γ' ὁ χείρων. Sic B. T. In Aldina ὅπου θ'— quod Heathio præferendum videtur. Dicere saltem de-

Digitized by Google

κἀποφθίνει τὰ χρηστὰ, χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπὸν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σὺ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὀπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.

ΦΙ. ἤδη, τέκνον, στέλλεσθε;

ΝΕ. καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.

ΦΙ. πρὸς νῦν σε πατρὸς, πρός τε μητρὸς, ὦ τέκνον,
πρός τ' εἴ τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον
ἔρημον ἐν κακοῖσι τοῖσδ', οἵοις ὁρᾷς,
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν,
ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
ὅμως δὲ πλῆθι. τοῖσι γενναίοισί τοι

463. ΜΕΤΑΣΤΗΣΕΙΑΝ. ἀπαλλάξειαν. ΕΙΚΗι. διδῷ, συγχωρήσῃ.

467. ΜΑΛΛΟΝ Η 'ΓΓΥΘΕΝ. μᾶλλον ἐκ τοῦ σύνεγγυς, μὴ ἐξ ἀπόπτου, ἤγουν μακρόθεν, τὸν πλοῦν περιμένειν.

472. ΟΣΟΙΣΙ Τ' ΕΞΗΚΟΥΣΑΣ. κακοῖς δηλονότι. ΕΝ ΠΑΡΕΡΓΩι. οἷον, οὐκ ἐν τετιμένῳ μέρει τῆς νεὼς, ἀλλ' ὅπῃ βούλει. δηλοῖ δὲ ταῦτα ἐν τοῖς ἑξῆς.

475. ΟΜΩΣ ΔΕ ΤΛΗΘΙ. ὅμως δὲ σῶσόν με, γιγνώσκων ὅτι τοῖς εὐγενέσι τὸ αἰσχρὸν ἐχθρόν ἐστι, καὶ τὸ καλὸν ἔνδοξον.

bebat quamnam potestatem elisæ particulæ tribueret. Illi in membr. supercripta est glossa τοι.

457. χῷ δειλὸς κρατεῖ. Perperam in omnibus libris δεινὸς. Has voces commutatas alibi jam observavimus.

[468. Malim πρὸς νύν σε—. Schæf.]

473. ἐν παρέργῳ θοῦ με. Dicuntur ἐν παρέργῳ aliquid facere, qui obiter, in transitu, et præter propositum aliquid faciunt. Sic apud Euripidem in El. 512. Ἦλθον γὰρ αἰτοῦ πρὸς τάφον, παρέργ' ὁδοῦ. In pictura πάρεργα appellantur, quæcunque tabellæ ornandæ gratia in vacuis spatii partibus artifex addit, minus diligenti cura elaborata. Hinc ἐν παρέργῳ τιθέμενα, facilia esse censentur, quæ levi opera, sine dispendio efficiuntur, quæ proinde non magni facere debet is, a quo impetrantur. Helena apud Euripidem v. 933. Τὴν δ' ἀθλίαν ἔμ', οἵσιν ἔγκειμαι κακοῖς, Ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης. *Serva me, corollarium hoc dans fortunæ.* Id est, *hoc addens fortunæ, quæ me illibatam servavit, et conjugem meum huc deduxit.* Idem in El. 63. Πάρεργ' Ὀρέστην κἄμὲ ποιεῖται δόμων. Hujus locutionis exempla permulta dabit Index Lucianeus.

Digitized by Google

τό τ' αἰσχρὸν ἐχθρὸν, καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ', ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν·
δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων,
ἐς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμναν, ὅποι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
πείσθητι. προσπίτνω σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου.
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔπσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος,
Τραχινίαν τε δειράδα, καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ,
ὃν δὴ παλαί' ἂν ἐξότου δέδοικ' ἐγὼ
μή μοι βεβήκοι. πολλὰ γὰρ τοῖς ἰκμένοις

482. ΕΞ ΑΝΤΛΙΑΝ, ΕΞ ΠΡΩΡΑΝ. *τὸ* ΕΝ ΠΑΡΕΡΓΩι, *ὅπερ προείρηκε, τοῦτο νῦν ἐνεφάνισε.*

486. ΑΚΡΑΤΩΡ. *ἀσθενὴς, κρατεῖν ἑμαυτοῦ μὴ δυνάμενος.*

489. ΧΑΛΚΩΔΟΝΤΟΣ. καὶ Ὅμηρος· (Ἰλ. Β'. 541.)
Χαλκωδοντιάδης, *μεγαθύμων ἀρχὸς Ἀβάντων.*

493. ΟΝ ΔΗ ΠΑΛΑΙ' ΑΝ. *ὃν δὴ πρὸ πολλοῦ χρόνου ἠβλαβήθην, μὴ τεθνηκὸς ᾖ.* ΤΟΙΣ ΙΚΜΕΝΟΙΣ. *ἀντὶ τοῦ, διὰ τῶν ἱκμένων, ἢ ἀφιγμένων ἐνταῦθα, καὶ πεπορευμένων.*

482. *ἐς πρύμναν, ὅποι*— Triclinius asyndeti venustate posthabita, inficetam copulam infersit, quam veteres libri non agnoscunt.

[489. *Εὐβοίας.* V. ad L. Bos. Ellips. p. 697. *Schæf.*]

491. *δειράδα.* Sic libri omnes. Toupius ad Suidam i. 87. quia anapæstus est in quarta sede, *δειράδα* contendit a poëta scriptum fuisse; quod minime credo. *δειρὴ* et *δέρη* frequentantur: at *δερὰς* nusquam vidi. Heathii commentum, *Τραχινίαν δειράδα τε*, non magis probo. Anapæstus hic tam ferendus est, quam in Trach. v. 292. *Τῶν μὲν παρόντων, τῶν δὲ πεπυσμένη λόγῳ.* Nam vocalem ante literas *σμ* corripuisse Atticos poëtas nec Toupius nec quivis alius mihi persuadebit.

493. *παλαί' ἄν.* Sic libri omnes veteres et Scholiastes. *παλαιὰ* Attice pro *παλαιὸν*, ut *πότερα* pro *πότερον*, et infinita alia. Hoc ex glossa Triclinius in textum intulit, extrito *ἄν*. Subauditur *ἐστὶν*. Sic in Œd. T. 561. pro *μακρός ἐστι χρόνος*, dixit, *Μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.*

494. *μή μοι βεβήκοι.* In B. *βεβήκῃ.* In T. *βεβήκει.* [*βεβήκῃ.* Brunckius *βεβήκοι.* V. Melet. Crit. i. p. 44. —V. præced. alteram lectionem, *παλαιὸν*, sequitur Valckenarius ad Euripid.

Digitized by Google

ἕστελλον αὐτὸν, ἱκεσίους πέμπων λιτὰς,
αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμους.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
ὡς εἰκὸς, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρει
ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ', εἰς σὲ γὰρ τομόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων, τὰ δεῖν' ὁρᾶν·
χὥταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

ΧΟ. οἴκτειρ', ἄναξ· πολλῶν ἔλεξεν δυσοίστων πόνων ἀντιστρ.
ἆθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικρούς, ἄναξ,
ἔχθεις Ἀτρείδας,
ἐγὼ μὲν, τὸ πείνων
κακὸν τῷδε κέρδος
μετατιθέμενος, ἔν-

501. ΣΤ ΣΩΣΟΝ. *σῶσόν με, γιγνώσκων τὰ ἀνθρώπινα πράγματα μεταβαλλόμενα.*

508. ΔΥΣΟΙΣΤΩΝ. *ἀφορήτων, δυσυποφορήτων.*

512. ΤΟ ΚΕΙΝΩΝ ΚΑΚΟΝ. *τὸ ἐκείνους λυποῦν, τούτῳ κέρδος καὶ ὠφέλειαν μεταποιῶν. ἢ τὸ κακὸν τὸ ἀπὸ τῶν Ἀτρειδῶν μετατιθέμενος τῷ Φιλοκτήτῃ, οἷον εἰς ἀγαθὸν μεταποιῶν, καὶ μεταβάλλων, καὶ ἐπανορθῶν. λέγει γὰρ, ὅτι βοηθήσω αὐτῷ, ἵνα ἐκείνους λυπήσω, ἐπανορθῶν αὐτῷ συμφορὰν, τὴν ὑπὸ τῶν Ἀτρειδῶν γεγονυῖαν.*

Hippol. v. 907. me quidem non improbante. *Schæf.*]

495. *ἕστελλον αὐτόν.* Sic libri omnes veteres. In T. *αὐτὸς*, altero tamen superscripto. *ἔστελλον* est pro *μετέστελλον*, et *πολλὰ* pro *πολλάκις.*

498. *τοὐμὸν ἐν σμικρῷ μέρει ποιούμενοι.* Sic in membr. scriptum a prima manu, ut et apud Suidam in *Διάκονος* legitur. Vulgatum minus probo, *τοὐμὸν ἐν σμικρῷ μέρος.*

507. *πολλῶν ἔλεξεν.* Triclinius particulam *δὲ* infersit absque ulla ratione.

509. *ὅσσα.* gl. *ὧν.* Scilicet dicitur *τυγχάνειν τι*, ut *τυγχάνειν τινος.* Vide notata ad Eurip. Med. 759. Idem Suppl. 266.—*κἀκβαλεῖς χθονὸς Γραῦς οὐ τυχούσας οὐδὲν ὧν αὐτὰς ἐχρῆν.* [*ὅσσα.* Vid. Lobeck. ad Ajac. p. 327. *Schæf.*]

514. *κέρδος μετατιθέμενος.* Sic legit Scholiastes, meo judicio, recte. Vulgo *μέγα τιθέμενος.* In T. nostra lectio alteri superscripta: *γρ. μετατιθέμενος.*

Digitized by Google

θαπερ ἐπιμέμονεν, 515
ἐπ' εὐστόλου ταχείας νεὼς πορεύσαιμ'
ἂν ἐς δόμους, τὰν ἐκ θεῶν
νέμεσιν ἐκφυγών.

ΝΕ. ὅρα σὺ, μὴ νῦν μέν τις εὐχερὴς παρῇ·
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ, 520
τότ' οὐκ ἔθ' ὡὐτὸς τοῖς λόγοις τούτοις φανῇς.

ΧΟ. ἥκιστα. τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
τοὔνειδός ἔξεις ἐνδίκως ὀνειδίσαι.

ΝΕ. ἀλλ' αἰσχρὰ μέντοι, σοῦ γ' ἔμ' ἐνδεέστερον
ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν. 525
ἀλλ', εἰ δοκεῖ, πλέωμεν, ὁρμάσθω ταχύς·
χ' ἡ ναῦς γὰρ ἄξει, κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
ἡμᾶς, ὅποι τ' ἐνθένδε βουλόμεσθα πλεῖν.

ΦΙ. ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνὴρ, 530
φίλοι δὲ ναῦται, πῶς ἂν ὑμῖν ἐμφανὴς
ἔργῳ γενοίμην, ὥς μ' ἔθεσθε προσφιλῆ.
ἴωμεν, ὦ παῖ, προσκύσαντες τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος. 535
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα, πλήν γ' ἐμοῦ, τλῆναι τάδε·

524. ΑΛΛ' ΑΙΣΧΡΑ ΜΕΝΤΟΙ. ἀλλ' αἰσχρόν ἐστιν ἐνδεέστερόν σου εἶναί με ἐν τῷ βοηθεῖν τοῖς φίλοις. ἢ οὕτως· αἰσχρόν ἐστιν εἰ ἐνδεέστερόν σου διατεθήσομαι περὶ τὴν εἰς τοὺς ξένους εὐεργεσίαν. οὐ παρατήσομαι οὖν.

531. ΠΩΣ ΑΝ ΥΜΙΝ. πῶς ἂν ἀποδοίην τὰς εὐεργεσίας ὑμῖν, ὡς ἐφιλήσατέ με; ἢ πῶς ἂν τῷ ἔργῳ εὖ πράξαιμι καὶ τῷ λόγῳ ὑμῖν; ΠΡΟΣΚΤΣΑΝΤΕΣ. ἀσπασάμενοι τὴν ἑστίαν. ΑΟΙΚΟΝ. δύσοικον, ὥσπερ ἀτυχὴς, ὁ δυστυχής. ΕΥΚΑΡΔΙΟΣ. καρτερικός. ΟΙΜΑΙ ΓΑΡ. ἐγὼ γὰρ ὑπολαμβάνω, μηδένα ἄλλον τὴν θέαν τῶν ἐνθάδε ἐνεγκεῖν, πόσῳ μᾶλλον τὴν οἴκησιν;

515. ἐπιμέμονεν. Sic emendate Turnebus edidit. In Aldina est, ut in veteribus codd. ἐπεὶ μέμονεν. In T. ἐπιμέμηνεν.

521. τότ' οὐκ ἔθ' ὡὐτός. Sic recte Aldus et ipse Turnebus, licet in Triclinii recensione sit οὐκέτ' αὐτός. Vide ad Œd. T. 557. Œd. Col. 1486.

524. αἰσχρὰ Attice pro αἰσχρὸν, ut supra 493. παλαιὰ pro παλαιόν.

[528. μόνον—σώζοιεν. Trachin. v. 1111. προσμόλοι μόνον. *Schæf.*]

529. βουλόμεσθα. Sic recte in B. Vulgo βουλοίμεσθα.

[533. προσκύσαντες. Porsonus ad Euripid. Phœniss. v. 1419. προσκύσαντε, numerorum causa. *Schæf.*]

537. πλήν γ' ἐμοῦ. Usitata in hac

Digitized by Google

ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν κακά.
ΧΟ. ἐπίσχετον· μάθωμεν. ἄνδρε γὰρ δύο,
ὁ μὲν, νεὼς σῆς ναυβάτης, ὁ δ', ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες, αὖθις εἴσιτον.

ΕΜΠΟΡΟΣ.

Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεὼς σῆς ξὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταυτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ, ὡς ναύκληρος, οὐ πολλῷ στόλῳ
ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας, ὅτι
σοὶ πάντες εἶεν οἱ νεναυστολημένοι,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.

538. ΣΤΕΡΓΕΙΝ ΤΑΔΕ. *γράφεται* ΣΤΕΡΓΕΙΝ ΚΑΚΑ.

542. ΕΜΠΟΡΟΣ. *οὗτος ὁ ἔμπορος διαπέπλασται ὑπὸ Ὀδυσσέως, ναύκληρος, πραγματευτὴς, εἰωθὼς τοῖς Ἕλλησι τὰ ἐπιτήδεια ἐπάγειν. ἔοικε δὲ καὶ ὡς οἶνου διατυπούμενος πραγματευτὴς.*

545. ΔΟΞΑΖΩΝ ΜΕΝ ΟΥ. *ἀντὶ τοῦ, οὐκ ἐπίτηδες ἐλθὼν ἐνταῦθα, ἀλλὰ πλέων ἐπὶ τὴν πατρίδα, ὥρμισα, οὐκ οἰόμενος, φησὶ, συντεύξεσθαι, κατὰ τύχην δέ.*

548. ΕΥΒΟΤΡΥΝ ΠΕΠΑΡΗΘΟΝ. *Πεπάρηθος, δῆμος τῆς Ἀττικῆς, καὶ μία τῶν Κυκλάδων νήσων.*

552. ΠΡΟΣΤΥΧΟΝΤΙ ΤΩΝ ΙΣΩΝ. *ἀντὶ τοῦ, εὑρόντι τοὺς σοὺς ναύτας τοὺς ἐμοὶ ἴσους, τοὺς τὴν αὐτὴν μοι τέχνην μετερχομένους. ἢ τῶν ἴσων, ἀντὶ τοῦ, ἐκ τῶν ἴσων. παραλέλειπται γὰρ ἡ ἐξ.*

formula particula γε, quam a librariis male omissam reposui.

538. *στέργειν κακά.* Hujus lectionis meminit Scholiastes, quæ vulgatæ *στέργειν τάδε* præferenda. Legi potuit *στέργειν δμως.*

539. *δύο.* Sic emendate scriptum in B. Perperam in aliis *δύω*, quod Atticis poëtis prorsus inusitatum. Vide quæ notavimus ad Comici Ranas 1405.

547. *ὡς ναύκληρος.* Sic libri omnes. Insignis menda editionis H. Stephani, *ὁ ναύκληρος*, in subsequentes manavit.

552. *προστυχόντι τῶν ἴσων.* Sic libri omnes, sensu haud perspicuo, quin verius nullo. Inepta est Scholiastæ interpretatio, quem non video, cur dativum *προστυχόντι* potius ad *μοὶ* quam ad *σοὶ* retulerit. Heathio excogitata lectio intricatior est et minime probabilis. Levissima mutatione locus restitui posse videtur, scribendo *προστυχόν τι τῶν ἴσων*, quod cum *φράσαιμι* jungi debet, hoc ordine verborum instituto: *ἔδοξέ μοι μὴ σῖγα τὸν πλοῦν ποιεῖσθαι, πρὶν φράσαιμί σοι προστυχόν τι τῶν ἴσων.* Quod quidem in versione expressi. *τῶν ἴσων* valet *τῶν δικαίων.* Atqui æquum et justum est remunerari hominem a quo quis discat, quod nosse

Digitized by Google

οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύμαθ' ἑστί· κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμεν', οὐκ ἔθ' ἑξαργούμενα.

NE. ἀλλ' ἡ χάρις μὲν τῆς προμηθείας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.

EM. φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ
Φοίνιξ θ' ὁ πρέσβυς, οἵ τε Θησέως κόροι.

NE. ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις πάλιν;

EM. οὐκ οἶδ'. ἀκούσας δ' ἄγγελος πάρειμί σοι.

NE. ἦ ταῦτα δὴ Φοίνιξ τε χ' οἱ ξυναυβάται
οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;

EM. ὡς ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι.

NE. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἦ φόβος τις εἰργέ νιν;

EM. κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ', ὁ Τυδέως τε παῖς,
ἔστελλον, ἡνίκ' ἐξανηγόμην ἐγώ.

556. ΕΞΑΡΓΟΥΜΕΝΑ. ἀναβολὴν ἔχοντα.
557. ΑΛΛ' Η ΧΑΡΙΣ. ἔσται σοι χάρις τῆς προμηθείας ὕστερον.
561. ΦΡΟΥΔΟΙ. ἀφανεῖς. ΘΗΣΕΩΣ ΚΟΡΟΙ. Ἀκάμας καὶ Δημοφῶν, ὧν οὐ μέμνηται Ὅμηρος.

plurimum sua intersit. Sic solent in Tragœdiis famuli et plebeii homines præmium ob allatum utile nuntium a principibus personis petere. Vide Trach. 190. Œd. T. 1006.

554. ἀμφὶ σοῦ νέα βουλεύματ' ἐστί. Verissima hæc est Jo. Aurati emendatio. Perperam in libris scriptum σοῦ νεκα, vel σ' οὕνεκα, absque ullo sensu.

[556. ἐξαργούμενα. Nescio quo casu h. v. ex Schneideri Lexico excidit. Plutarchus Mor. T. i. p. 6. s. ἐξαργηθεῖσα, δι' ἀμέλειαν ἐξαπόλλυται. *Schæf.*]

[559. φράσον δ' ἅπερ γ' ἔλεξας. Vid. not. ad Œd. Reg. v. 655. *Schæf.*]

[562. Φοίνιξ. Hæc scriptura placet Heynio ad Homer. Il. T. i. p. 622. extr. ed. minor. improbanti alteram illam, Φοῦνιξ. Boissonadus ad Philostrati Her. p. 275.: "Codices nonnulli habebant Φοίνιξ. Sed servavi editum Φοῦνιξ. Et sic scribere placuit Schweighæusero eruditissimo ad Athen. anim. i. p. 476. Alii tamen editores Φοίνιξ prætulerunt, iique doctissimi. De horum nominum accentu lis est adhuc sub judicibus." Litem facile dirimas, si audias Priscianum c. 753. Putsch. *Oportet tamen scire, quod Græci* ι *et* υ *ante* ξ *breves esse volunt, etiamsi in obliquis producantur, ut* φοῦνιξ φοίνικος, βόμβυξ βόμβυκος. ut locum correxit Marklandus ad Euripid. Supplic. v. 398. *Schæf.*]

[565. ξυναυβάται. Fugit hic locus Schneiderum. *Schæf.*]

568. αὐτάγγελος. gl. ἀφ' ἑαυτοῦ ἄγγελος. *Ipse ultro operam suam pollicitus, non exspectans dum a quoquam rogaretur ut munus hoc susciperet.*

571. ἐξανηγόμην ἐγώ. Sic emendate scriptum in B. ut oportuisse jam mo-

Digitized by Google

ΝΕ. πρὸς ποῖον ἂν τόνδ' αὐτὸς οὐδυσσεὺς ἔπλει;
ΕΜ. ἦν δή τις. ἀλλὰ τόνδ' ἐμοὶ πρῶτον φράσον,
τίς ἐστίν· ἆ 'ν λέγῃς δὲ, μὴ φώνει μέγα.
ΝΕ. ὅδ' ἔσθ' ὁ πλεινός σοι Φιλοκτήτης, ξένε.
ΕΜ. μή νύν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει, σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
ΦΙ. τί φησιν, ὦ παῖ; τί με κατὰ σπότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
ΝΕ. οὐκ οἶδά πω τί φησι. δεῖ δ' αὐτὸν λέγειν
ἐς φῶς ὃ λέξει, πρὸς σὲ, κἀμὲ, τούσδε τε.
ΕΜ. ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ,
λέγοντ' ἃ μὴ δεῖ· πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά γ', οἵ' ἀνὴρ πένης.
ΝΕ. ἐγώ εἰμ' Ἀτρείδαις δυσμενής· οὗτος δ' ἐμοὶ
φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.
δεῖ δή σ' ἔμοιγ' ἐλθόντα προσφιλῆ, λόγον
κρύψαι πρὸς ἡμᾶς μηδέν', ὧν ἀκήκοας.
ΕΜ. ὅρα τί ποιεῖς, παῖ.
ΝΕ. σποπῶ κἀγὼ πάλαι.

579. ΔΙΕΜΠΟΛΑι. λάθρα ἀπατῇ.
582. ΜΗ ΜΕ ΔΙΑΒΑΛΗΙΣ. μὴ διαβάλῃς με, φησὶ, τῷ τῶν Ἑλλήνων στρατῷ. πολλὰ γὰρ εὐεργετήθην παρ' αὐτῶν, ἀντευεργετῶν αὐτοὺς, ὃς δύναται κέρης εὐεργετεῖν, δηλονότι ὑπηρετῶν. λέγεται δὲ τὸ πάσχειν καὶ ἐπὶ ἀγαθοῦ.
589. ΟΡΑ ΤΙ ΠΟΙΕΙΣ ΠΑΙ. ΣΚΟΠΩ ΚΑΓΩ ΠΑΛΑΙ. ταῦτα πλαγίως νοητέον.

nuerat Canterus. Ineptissime vulgo legitur ἔσω.

572. αὐτὸς δύδυσσεύς. In B. alia lectio: Πρὸς ποῖον ἂν αὐτὸς ἂν Ὀδυσσεὺς ἔπλει;

574. ἆ 'ν λέγῃς. Perperam in libris ἂν λέγῃς. Sæpe in hac vocula peccarunt librarii. Vide ad Aj. 1085. et Marklandum ad Eurip. Suppl. 364.

577. σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς. Temere lectionem hanc solicitat Berolinensis editor, cujus conjectura vix digna est quæ memoretur. Quod apud Plautum alicubi legitur, *Foras me abripui, atque effugi*, Græce est: ἐξέφυγον, ἁμαυτὸν ξυλλαβὼν τοῦ δόμου. Comicus Latinus alibi: *Ut corripuit se repente, atque abiit!* [Post ξυλλαβὼν interpunxi, ut jungantur ἔκπλει ἐκ τῆσδε γῆς. *Schaef.*]

582. μή με διαβάλῃς. Sic veteres codd. et Aldus recte. In Triclinii recensione μή με διάβαλλε στρατῷ, quod etiam probum est. Verum quod ex Turnebi editione vulgo legi solet μή με διαβάλλῃς plane solœcum est. Vide Thomam Mag. in Μή.

585. ἐγώ εἰμ' dissyllabum est. Sic scriptum in membr. ut recte Aldus excudit. Triclinius perperam scripsit ἐγώ μ' Ἀτρείδαις, tanquam si solis ariolis scripsisset. Eodem modo apud Comicum in Vespis 1224. ἐγὼ εἴσομαι. Vide ad Œd. T. 332.

[586. φίλος μέγιστος. Diodorus Sicul. xix. c. 48. προσεποιεῖτο τιμᾶν ἐκ τοῖς μεγίστοις τῶν φίλων. *Schaef.*]

Digitized by Google

ΕΜ. σὲ θήσομαι τῶνδ' αἴτιον.
ΝΕ. ποιοῦ λέγων.
ΕΜ. λέγω. πὶ τοῦτον ἄνδρε τῶδ', ὥσπερ κλύεις,
ὁ Τυδέως παῖς, ἤ τ' Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν, ἢ μὴν ἢ λόγῳ
πείσαντέ γ' ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος. οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε.
ΝΕ. τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν τ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία
καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
ΕΜ. ἐγώ σε τοῦτ', ἴσως γὰρ οὐκ ἀπήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενής,
Πριάμου μὲν υἱὸς, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν οὗτος, νυκτὸς ἐξελθὼν μόνος,
ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
δόλιος Ὀδυσσεὺς εἷλε, δέσμιόν τ' ἄγων
ἔδειξ' Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε,
καὶ τἀπὶ Τροίᾳ πέργαμ' ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε, πείσαντες λόγῳ,

590. ΣΕ ΘΗΣΟΜΑΙ ΤΩΝΔ' ΑΙΤΙΟΝ. αἴτιόν σε ποιήσω τῶν πραττομένων. ΠΟΙΟΥ ΛΕΓΩΝ. ποιοῦ με αἴτιον, ὃν μέλλεις λέγειν.
591. ΑΝΔΡΕ ΤΩΔ'. οὗτοι οἱ ἄνδρες, οὕστινας ἀκούεις. Η ΜΗΝ. ὄντως δή. ΘΑΤΕΡΟΥ. ἡγοῦν τοῦ Διομήδους. εὐτολμότερος γὰρ ἦν εἰς τὸ δρᾶσαι.
598. ΤΙΝΟΣ Δ' ΑΤΡΕΙΔΑΙ. τὸ ἐξῆς· τίνος δὲ πράγματος χάριν διὰ τοσούτου χρόνου οἱ Ἀτρεῖδαι ἐπεστράφησαν καὶ φροντίδα ἐποιήσαντο τοῦ Φιλοκτήτου, τοῦ πάλαι ἐξ αὐτῶν ἀποβληθέντος;
607. Ο ΠΑΝΤ' ΑΚΟΥΩΝ ΑΙΣΧΡΑ. ὁ ὑπὸ πάντων ὑβριζόμενος.
609. ΘΗΡΑΝ ΚΑΛΗΝ. οὐχ ἁπλῶς εἶπε τὴν θήραν καλήν· ἀλλὰ διὰ τὴν πόρθησιν τῆς Ἰλίου. αὐτὸς γὰρ ὁ Ἕλενος ἑρμηνεύει τὸν τρόπον τῆς πορθήσεως.

594. *πείσαντέ γ' ἄξειν.* Sic scriptum in B. Vulgo *πείσαντες.*
600. *ὅν τ' εἶχον.* Nihil mutandum: est pro *ὅν τοι.* [*ὅν γ'.* Sic etiam Erfurdtius. Vulgo *ὅν τ'. Schæf.*]
608. *δέσμιόν τ' ἄγων.* Perperam Aldus et membr. *δέσμιον δ' ἄγων.*
[611. *ὡς οὐ μή ποτε πέρσοιεν.* Rarior constructio particularum *οὐ μὴ* cum optativo: sed h. l. genuina. *Schæf.*]

Digitized by Google

ἄγοιντο νήσου τῆσδ', ἐφ' ἧς ναίει τανῦν.
καὶ ταῦθ' ὅπως ἤκουσ' ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ', ἑκούσιον λαβών·
εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων, κάρα.
τέμνειν ἐφεῖτο τῷ θέλοντι, μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ, κεἴ τινος κήδῃ πέρι.

ΦΙ. οἴ μοι τάλας. ἦ κεῖνος, ἡ πᾶσα βλάβη,
ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κᾀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὐκείνου πατήρ.

ΕΜ. οὐκ οἶδ' ἐγὼ ταῦτ'. ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
ναῦν· σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.

ΦΙ. οὔκουν τάδ', ὦ παῖ, δεινὰ, τὸν Λαερτίου
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
οὔ. θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.

616. ΔΗΛΩΣΕΙΝ. δείξειν. ΕΦΕΙΤΟ. ὑπέσχετο, ἐπηγγείλατο.
623. ΣΤΕΛΕΙΝ. πέμψειν. ΩΣΠΕΡ Ο'ΤΚΕΙΝΟΥ ΠΑΤΗΡ. ὁ Σίσυφος. μέλλων γὰρ τελευτᾶν, παρήγγειλε τῇ γυναικὶ αὐτοῦ, ἄταφον καταλιπεῖν αὐτόν· καὶ κατελθὼν εἰς Ἅιδου τῶν γε νενομισμένων μὴ τυχὼν, κατηγόρησε τῆς γυναικὸς παρὰ τῷ Αἰδωνεῖ, ἠξίου τε ἀνελθεῖν καὶ τὴν γυναῖκα τιμωρήσασθαι· ἀνελθὼν δὲ οὐκ ἔτι ὑπέστρεψεν, ἕως μετ' ἀνάγκης κατῆλθεν. ἐκ πατρὸς οὖν πανοῦργος ὁ Ὀδυσσεύς.
628. ΟΤΚΟΥΝ. ἀποφατικῶς ἢ ἐρωτηματικῶς.
631. ΘΑΣΣΟΝ ΑΝ ΤΗΣ. τάχιον ἂν πεισθείην τῇ ἐχίδνῃ, ἢ τῷ Ὀδυσσεῖ.

614. ὅπως ἤκουσ' ὁ Λαέρτου. Sic emendate scriptum in B. Perperam vulgo ἤκουσεν. Pro τόκος idem cod. B. habet γόνος.

619. ἐφεῖτο. ἐφίεμαι, ἐφεῖμαι, ἐφείμην, ἐφεῖτο. Comicus in Vesp. 242. Χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ Ἥκειν. Æschylus Promethei initio: —σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς Ἃς σοι πατὴρ ἐφεῖτο.

625. Sisyphi, qui κέρδιστος γένετ' ἀνδρῶν, vaferrimum commentum, quo post mortem ad superos reditum impetraret, e Pherecyde, quem laudat Homeri interpres ad Il. ζ'. 153. hic in scholiis traditur. Vetustissimæ fabulæ testis est Theognis v. 523. nostræ editionis.

[629. ἐλπίσαι—ἂν—δεῖξαι. Herodotus iii. c. 151. f. οὐδαμᾶ ἐλπίζων ἂν ἡμίονον τεκεῖν. Xenophon Anab. ii, 5, 13. οὐκ ἐλπίζω ἂν σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρασχεῖν. Schaef.]

630. νεὼς ἄγοντ'. supplenda præpositio ἐπὶ, quæ hic suppressa est, ut supra 206. ἔρποντος στίβου, pro ἐπὶ στίβου.

Digitized by Google

ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτὰ, πάντα δὲ
τολμητά. καὶ νῦν οἶδ' ὅθ' οὕνεχ' ἵξεται.
ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.
ἴωμεν. ἢ τοι καίριος σπουδὴ, πόνου
λήξαντος, ὕπνον καὶ ἀναπαυλαν ἤγαγεν.
ΝΕ. οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρώρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοσταθεῖ.
ΦΙ. ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγῃς κακά.
ΝΕ. οὔκ· ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
ΦΙ. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῇ κλέψαι τε κ' ἁρπάσαι βίᾳ.
ΝΕ. ἀλλ', εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ. ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
ΝΕ. τί τοῦθ', ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;

636. ΟΡΙΖΕΙ. διίστησι. Η ΤΟΙ ΚΑΙΡΙΟΣ ΣΠΟΥΔΗ. τὸ ἐγκαίρως σπουδάζειν, ἀνάπαυλαν ἄγει ὕστερον.

639. ΠΝΕΥΜΑ ΤΟΥΚ ΠΡΩΡΑΣ ΑΓΗι. ἤγουν ἐπὰν παύσηται ὁ ἄνεμος ἐναντιούμενος ἡμῖν. ΕΝΑΝΤΙΟΣΤΑΤΕΙ. ἐναντίον πνέει.

642. ΟΥΚ, ΑΛΛΑ. μὴ εὐλαβηθῇς, φησί. κἀκείνοις γὰρ τὰ πνεύματα ταῦτα ἐναντία. ἀντὶ τοῦ, τὰ ἡμᾶς ἐπέχοντα, κἀκείνους ἐπέχει.

643. ΟΥΚ ΕΣΤΙ ΛΗΙΣΤΑΙΣΙ. τοῖς γὰρ κακούργοις οὐκ ἔστιν ἐναντίος ἄνεμος. ἐν τῇ συγχύσει γὰρ μᾶλλον ἰσχύουσι.

648. ΤΙ ΤΟΥΘ'. τί ἔχεις, ὅπερ ἡ ἐμὴ ναῦς οὐκ ἔχει; ἀντὶ τοῦ, οὐδὲν ἡμῖν λείπει.

[633. s. Plene: πάντα μὲν λεκτὰ, πάντα δὲ τολμητά. ne de παντά τε cogites. Solennis usus particularum μὲν et δὲ, ubi adjectivum πᾶς repetitur. Xenophon Hier. vii, 1. οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι. μὲν autem passim omitti, sequente δὲ, satis notum est. *Schaef.*]

636. ὁρίζῃ. Sic ad linguæ normam scribi debuit. Solœce in libris ὁρίζει.

637. ἤ τοι. Sic Aldus, ut perspicue in membr. scriptum est. Minus bene Turnebus ἤτοι.

639. πνεῦμα τοὐκ πρώρας ἀνῇ. Sic legendum esse ex certissima emendatione præstantissimorum virorum Piersoni et Valckenarii, nemo non sentit. Vide Diatr. Eurip. p. 234. Aldus edidit ἀγῇ, ut in membr. scriptum est, proclivi librarii errore. Aliorum codd. lectiones longe sunt absurdissimæ, βάῃ, ἄῃ, quarum hæc, quæ in Triclinii recensione est, plane contrarium ejus quod sententia et res ipsa postulant, præbet. πνεῦμα τὸ ἐκ πρώρας, *ventus qui a prora flat*, contrarius est. Expectandum itaque erat, non donec *flaret*, ἄῃ, sed donec *remitteret*, ἀνῇ. Sic infra 764.

645. χωρῶμεν, ἔνδοθεν λαβὼν— Schema σολοικοφανὲς, cujus elegantiam non gustavit, qui pro λαβὼν legendum esse conjicit λάβ' οὖν. Perinde est ac si dixisset: χώρει μεθ' ἡμῶν, ἔνδοθεν λαβὼν—. Vide Eustathium ad Homerum p. 236.

648. ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι. Id

Digitized by Google

ΦΙ. φύλλον τι μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.
ΝΕ. ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙ. εἴ μοι τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίτῳ μή τῳ λαβεῖν.
ΝΕ. ἦ ταῦτα γὰρ τὰ πλεινὰ τόξ', ἃ νῦν ἔχεις;
ΦΙ. ταῦτ', οὐ γὰρ ἄλλα γ' ἔσθ', ἃ βαστάζω χεροῖν.
ΝΕ. ἆρ' ἐστὶν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με, προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙ. σοί γ', ὦ τέκνον, καὶ τοῦτο, κἄλλο τῶν ἐμῶν,
ὁποῖον ἄν σοι ξυμφέρῃ, γενήσεται.
ΝΕ. καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω.
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.
ΦΙ. ὅσιά τε φωνεῖς, ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾷν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
θάρσει. παρέσται ταῦτά σοι καὶ θιγγάνειν,
καὶ δόντι δοῦναι, κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ καὐτὸς αὖτ' ἐκτησάμην.

650. ΚΟΙΜΩ. *κατακοιμίζω, πραΰνω.*
653. ΠΑΡΕΡΡΥΗΚΕΝ. *παρακέκπτωκε.*
665. ΟΣ ΤΩΝ ΕΜΩΝ ΕΧΘΡΩΝ. *ὃς ἐκοίησάς με τῶν ἐχθρῶν ὑπερέχειν, ὄντα αὐτῶν ἐλάττονα.* ΚΑΙ ΔΟΝΤΙ ΔΟΥΝΑΙ. *ἀντὶ τοῦ ἀποδοῦναί μοι τῷ δόντι σοι.* ΣΤΕΡΓΕΤΩΝ ΓΑΡ. *αὐτὸς γὰρ ὑφῆψε τὴν πυρὰν τῷ Ἡρακλεῖ.*

est ὃ μὴ ἔνεστι ἐπὶ νεὼς ἐμῆς. vel ὃ μὴ ἔνεστί σοι λαβεῖν ἀπ' ἐμῆς νεώς. Minime necesse est pro ἔνι scribere ἔστι.

652. εἴ μοι. Sic recte Aldus, qui in fine versus perperam edidit ἀπημελημένων. Inepta est Triclinii lectio, οἵμοι—τόξων τῶνδ', *harum sagittarum.* τόξα, πᾶσα ἡ τοξικὴ σκευὴ λέγεται. Eustathii observatio est pluribus in locis repetita.

[668. καὶ δόντι δοῦναι. Scholiastes: ἀντὶ τοῦ ἀποδοῦναί μοι τῷ δόντι σοι. Conf. infra v. 774. s. οὐ δοθήσεται πλὴν σοί τε κἀμοί. De hoc usu verbi simplicis δίδωμι pro composito ἀποδίδωμι v. Heyn. ad Apollodor. ii. 4, 2. p. 299. ed. prior. Quod autem vir doctissimus vulgatam dicit ridiculam, quidnam in ea insit absurdi, me parum perspicere fateor. Philoctetes hoc voluit: *licet tibi hæc arma contrectare, sic tamen ut ea mihi reddas.* Id humanius et amicius hac elocutionis figura expressit: *licet tibi hæc arma contrectare, mihique qui dedi reddere.* Eodem urbanitatis tanquam schemate in communi vita οἱ χαριέστεροι, permittentes aliquid sub conditione, hanc conditionem facere solemus partem ipsius permissionis. *Schaef.*]

Digitized by Google

οὐκ ἄχθομαί σ' ἰδεῖν τε καὶ λαβεῖν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
ΝΕ. χωροῖς ἂν εἴσω.
ΦΙ. καὶ σέ γ' εἰσάξω. τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

ΧΟΡΟΣ.

Λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα, στροφὴ α'.
τὸν πελάταν λέκτρων ποτὲ τοῦ Διὸς
Ἰξίονα, κατ' ἄμπυκα δὴ
δρομάδα δέσμιον ὡς ἔλαβ' ὁ
παγκρατὴς Κρόνου παῖς·
ἄλλον δ' οὔ τιν' ἔγωγ' οἶδα
κλύων, οὐδ' ἐσίδον μοίρᾳ
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔτ' ἔρξας τιν', οὔτε νοσφίσας,
ἀλλ' ἴσος ἐν ἴσοις ἀνὴρ,
ὤλλυθ' ὧδ' ἀναξίως.

676. ΛΟΓΩι ΜΕΝ ΕΞΗΚΟΥΣΑ. λόγῳ μὲν ἀκούω, φησὶ, τὸ τοῦ Ἰξίονος πάθος, ὅτι τροχάζεται· οὐ μέν τοι ἑώρακα μείζονα τῆς Φιλοκτήτου νόσον. ΤΟΝ ΠΕΛΑΤΑΝ ΛΕΚΤΡΩΝ. τὸν βουληθέντα ἐπιβῆναι τῇ εὐνῇ τοῦ Διός· ἢ τὸν πειράσαι βουληθέντα τὴν ὁμόλεκτρον τοῦ Διὸς Ἥραν, ὃν ἔδησεν ὁ Ζεύς. ΚΑΤ' ΑΜΠΥΚΑ ΔΡΟΜΑΔΑ ΔΕΣΜΙΟΝ. κατὰ τρόχον τὸν περιφερόμενον ἐν τῷ δρόμῳ δεδεμένον. ΜΟΙΡΑι ΕΧΘΙΟΝΙ. τύχῃ, δυστυχίᾳ στυγερωτέρᾳ, ἐλεεινοτέρᾳ. ΝΟΣΦΙΣΑΣ. ἀποστερήσας. ΕΝ ΙΣΟΙΣ. ἐν δικαίοις. ΤΟΔΕ ΘΑΤΜ' ΕΧΕΙ ΜΕ. θαυμάζω πῶς ὑπέμεινεν, ἀεὶ κλυζομένην κύμασιν ἔχων καταγωγὴν, καὶ ἔρημον παντάπασιν. ΑΜΦΙΠΛΗΚΤΩΝ. ἑκατέρωθεν πληττόντων. τὰ γὰρ κύματα κλύζονται κατ' ἀμφοτέραν ὄχθην τῆς θαλάσσης.

671. Vulgo legitur: οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον. plane inepta sententia, et manifesta duarum vocum depravatione. Nemo non vidit pro participiis verba infinitiva reponenda esse: Οὐκ ἄχθομαί σ' ἰδεῖν τε καὶ λαβεῖν φίλον. Jamdiu est quod sic legerat Georgius Ratallerus, qui sic vertit; *non molestum erit, si tu quoque attrectaveris.*

677. τοῦ Διός. Articulum in veteribus codd. et in Aldina, metro reclamante, omissum, exhibet Triclinii recensio. [τῶν Διός. Brunckius τοῦ Δ. Vid. Porson. ad Euripid. Phœniss. v. 145. *Schæf.*]

678. κατ' ἄμπυκα. Sic libri omnes, quibus accedit Hesychii auctoritas in Ἄμπυκες. Eustathius p. 1280, ἐν δὲ ῥητορικοῖς λεξικοῖς εὑρέθη καὶ ταῦτα. ἀμπυκίσαι, ἀναδῆσαι, χαλινῶσαι, στεφανῶσαι. καὶ ἄμπυξ, χαλινὸς, συγκάθαμμα, ἐπίκρανον, καλύπτρα, διάδημα, στεφάνη—ἐκ μεταφορᾶς δέ φασι, καὶ ὁ τροχὸς, διὰ τὸ κυκλοτερὴς εἶναι. Musgravius ad Eurip. Herc. Fur. 1300, vitium in ἄμπυκα esse censet, et reponendum ἄντυγα.

Digitized by Google

τόδε θαῦμ' ἔχει με,
πῶς ποτε, πῶς ποτ' ἀμφιπλήκτων
ῥοθίων μόνος κλύων, πῶς
ἄρα παυδάκρυτον οὕτω βιοτὰν κατέσχεν,
ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν, ἀντιστρ. α'.
οὐδέ τιν' ἐγχώρων κακογείτονα,
παρ' ᾧ στόνον ἀντίτυπον
βαρυβρῶτ' ἀποκλαύσειεν

691. ΙΝ' ΑΥΤΟΣ. ὅπου αὐτὸς μόνος ἦν, ὑπὸ ἀνέμων βαλλόμενος, ἢ πρὸς ἄνεμον τετραμμένος. ΒΑΣΙΝ. πόδα. ΟΥΔΕ ΤΙΝ' ΕΓΧΩΡΩΝ ΚΑΚΟΓΕΙΤΟΝΑ. ἀπὸ κοινοῦ τὸ ΕΧΩΝ. οὐ μόνον ὅπου καλὸν οὐκ εἶχε γείτονα, ἀλλὰ οὐδὲ κακὸν, παρ' οὗ ἀμοιβαῖον λόγον στενάζων ἀκούσεται. τὸ δὲ ἐξῆς οὕτω δεῖ λαβεῖν· οὐδέ τινα ἐγχώρων ἔχων, παρ' ᾧ δὴ τὸν κακὸν γείτονα, τὸν αἱματηρὸν στόνον, ἀποκλαύσειε. τὸ ΚΑΚΟΓΕΙΤΟΝΑ γὰρ οὐ πρὸς τοὺς ἐνοικοῦντας, ἀλλ' εἴπερ τις ἐτύγχανεν αὐτῷ συνοικῶν, ὁ τούτου στόνος κακογείτων ἂν ἦν ἐκείνῳ. ΑΝΤΙΤΥΠΟΝ. ἀμοιβαῖον. ΟΤΑ' ΟΣ ΤΑΝ ΘΕΡΜΟΤΑΤΑΝ. κατὰ συνεκδοχὴν τὸ ΕΧΩΝ. οὐδ' ἔχων τινὰ, ὃς τὴν θερμοτάτην καὶ ἀγρίαν ΑΙΜΑΔΑ, τὴν τοῦ αἵματος ῥύσιν ἀναδιδομένην ἐκ τῶν ἑλκῶν τοῦ θηροδήκτου ποδὸς, ἠπίοις φύλλοις κατευνάσειεν, εἴ τις ἐμπέσοι. ΑΙΜΑΔΑ ΚΗΚΙΟΜΕΝΑΝ ΕΛΚΕΩΝ. παρὰ τὸ ('Ιλ. η'. 262.) μέλαν δ' ἀνεκήκιεν αἷμα. ΦΥΛΛΟΙΣ ΚΑΤΕΥΝΑΣΕΙΕΝ. ἀντὶ τοῦ, ὅλως οὐκ ἔχων οὐδὲ ὅστις ἕλοι φύλλον αὐτῷ ἐκ τῆς γῆς, ἢ ὄρνιν τοξευθέντα ὑπὸ Φιλοκτήτου, καὶ πεσόντα εἰς τὴν γῆν. ΕΙΛΥΟΜΕΝΟΣ. κυλιόμενος, χερσὶν ἐπερειδόμενος, καὶ ἕλκων τὰ σκέλη, ὡς νήπιος παῖς ἄνευ τιθήνης τετραποδηδόν, βαδίζων, ὡς αὐτὸς ἐν τοῖς ἀνωτέρω· (289.)

πρὸς δὲ τοῦθ' ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνος ἐξέλκων πόδα.

τὸ δὲ ἐξῆς· τότε γὰρ ἡνίκα ἐξανίησι δακέθυμος ἄτα, ἔρπει πόρον ἄλλοτ' ἄλλον, εἰλυόμενος, ὅσπερ παῖς ἄνευ φίλης τιθήνης ὑπάρχων. ΟΘΕΝ ΕΥΜΑΡΕΙΑ. ὅπου εὐμαρές ἐστιν αὐτῷ ἀπιέναι. ΕΞΑΝΙΗΣΙΝ. ἐνδίδωσι. ΑΤΑ. ἡ νόσος.

689. *μόνος κλύων*. Sic ad sententiæ, linguæ, metri rationem legendum; mendose in libris *κλύζων*.

691. *πρόσουρος, confinis, accola. ἵνα ἦν αὐτοπρόσουρος, ubi ipse sibi erat vicinus.* Non animadvertit Berolinensis editor versum hunc esse trimetrum iambicum, omnibus suis absolutum numeris; proinde conjecturis opus non esse, quibus metrum sustentetur. Futilia sunt, si quæ alia, ejus commenta, *πρόσβορρος, πρόσπωλος*, quorum hoc ne Græcum quidem est.

692. *κακογείτων* non est *malus vicinus*, sed *vicinus* seu *affinis mali*, ut recte post Lessingium vocem hanc exponit Berolinensis editor, eadem compositionis ratione, qua *κακόμαντις, κακόστεγνος, ψευδοκήρυξ*, et alia.

693. *παρ' ᾧ στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύσειεν αἱματηρόν*. Locus difficilis ob loquendi formam dithyrambica audacia concinnatam; quem si quis verbum verbo reddens interpretaretur, is lectorem ad alium interpretem ablegaret. Tria adjectiva substantivo *στόνον* tribuuntur, quod cum uno tropice accipiendum, cum duobus aliis propria significatione. Nempe *στόνον* ea metonymiæ ratione, qua causa per effectum indicatur, *morbum* hic significat, qui vere *βαρυβρὼς* et *αἱματηρός*. At cum *ἀντίτυπον*, si menda vacat hæc scriptura, proprie *gemitum* notat, malim equidem *ἀντίτυπα* legere, quod adverbialiter posuisse poëtam verisimile est, ut Antig. 134. et sic perspicua phrasis est: *apud quem deploraret edacem sanguineum morbum, ita ut is, qui gementem audiret, suis gemitibus illi responderet.* Tot verbis opus est ad declarandam vim adverbii *ἀντίτυπα*. Incidit nuper in meas manus Programma Academicum anno Jenæ proposi-

Digitized by Google

αἱματηρόν· οὐδέ γ' 695
ὃς τὰν θερμοτάταν αἱμά-
δα κηκιομέναν ἐλκέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τιν' ἐμπέσοι
φορβάδος ὥστε γᾶς ἑλεῖν. 700
ἕρπει γὰρ ἄλλοτ' ἄλλα,
τότ' ἂν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθήνας,
ὅθεν εὐμάρειʼ ὑπάρχει
πόρων, ἀνίκ' ἐξανίη δακέθυμος ἄτα· 705
οὐ φορβὰν ἱερᾶς στροφὴ β'.
γᾶς σπόρον, οὐκ ἄλλων

707. ΓΑΣ ΣΠΟΡΟΝ. *σῖτον.* ΤΩΝ ΝΕΜΟΜΕΣΘΑ. *τουτέστιν, ἀφ' ὧν τρεφόμεθα. οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον ἄρων, οὐκ ἄλλο ὃ νεμόμεσθα ἄνδρες ἁλφησταί. τουτέστιν οὐ Δημητριακὸν καρπὸν, οὐδέ τι τῆς συνήθους ἀνθρώποις διαίτης, ἀλλὰ*

tum, in quo vir doctus partem hujus cantici illustrare aggressus est. Legendum censet,—*παρ' οὗ στόνος ἀντίτυπος Βαρυβρῶτ' ἀποκλαύσειεν αἱματηρόν.* et vertit: *neque quemquam incolarum infortunii sui vicinum habens, a quo gemitus respondens graviter vulneratum* (hominem) *deploraret.* Nimia licentia grassatur contra librorum fidem absque ulla necessitate. Satis perspicua est sententia et proba syntaxis. *ἀποκλαύσειεν* ad Philoctetam refertur: *οὐδέ γ' ὃς κατηνάσειεν* ad desideratum illum *κακογείτονα.* Meridiana luce hoc clarius, nec inest quidquam quod tenebras offundat, præsertim si *ἀντίτυπα*, quod poëtam scripsisse arbitror, restituatur; et in his neutris pluralibus adverbialiter sumptis, quis nescit frequentes librariorum errores? Sequens versus cum strophico non congruit examussim: nempe pes pedi non respondet, quod quidem haudquaquam necesse est. At Triclinius versum a tribrachy incipere voluit, qui voci *δρομάδα* par esset, et barbarum finxit vocabulum *βεβαρυβρῶτ'*, cujus varietatis Turnebus non meminit.

695. *οὐδέ γ' ὃς*—Hanc scripturam versus flagitat. Vulgo *οὐδ' ὃς*—

699. *εἴ τιν' ἐμπέσοι.* Mendose in libris *εἴ τις.*—*τιν'* valet *τινὰ* nempe *φόλλα*, vel *τινὶ* nempe *φύλλῳ*, utrovis nomine ex præcedente *ἠπίοισι φύλλοις* repetendo. In seq. versu libri omnes habent, ut duobus in locis Eustathius laudat, *φορβάδος ἐκ τε γᾶς ἑλεῖν*, manifesta depravatione. *ἐκ* ex glossa irrepsit, et *τε* remansit ex *ὥστε*, quod, structuræ lege flagitante, reposuimus. Quod Turnebus dedit *ἔκ γε γᾶς* nullius veteris libri fide nititur. Leviculæ mendæ locum hunc ita obscuraverant, ut quo se verterent interpretes, non invenirent; de confixis avibus nescio quid somniarunt, de quibus poëta ne cogitavit quidem.

705. *ἐξανίῃ.* Aldus et veteres codd. *ἐξανίῃσι.*

707. *οὐκ ἄλλων.* Sic codd. omnes, recte. Ordo est: *οὐκ ἄλλων ἄρων τι, ἀφ' ὧν νεμόμεσθα ἄνδρες ἁλφησταί, πλὴν*—Nihil sane planius, ita ut mirer Reiskii ineptissimam conjecturam, non solum magnopere probatam, verum etiam receptam Berolinensi editori fuisse, *οὐκ ἀγρῶν.* Locus male interpunctus erat: *στόρον* cum *ἱερᾶς γᾶς* jungendum. Præter fruges, alia sunt multa, quibus vescuntur homines, fetas arborum, pecudum proventus, lac, caro, quibus homo claudus, æger, solus in deserto et inculto litore omnino carere debebat.

Digitized by Google

αἴρων, τῶν νεμόμεσθ'
ἀνέρες ἀλφησταί·
πλὴν ἐξ ὠκυβόλων
εἴποτε τόξων πτανοῖς ἰοῖς
ἀνύσειε γαστρὶ φορβάν.
ὦ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πόματος
ἥσθη δεκέτη χρόνον·
λεύσσωι δ', εἴ που γνοίη, στατὸν εἰς ὕδωρ,
αἰεὶ προσενώμα.
νῦν δ' ἀνδρῶν ἀγαθῶν ἀντιστρ. β'.
παιδὸς ὑπαντήσας,

διὰ τῶν πτηνῶν ὀϊστῶν, τὴν διὰ τῶν ὀρνέων τροφήν. ΩΚΥΒΟΛΩΝ ΤΟΞΩΝ. πτερωτῶν τόξων. ἤτοι πλὴν εἴ που τοῖς πτηνοῖς βέλεσιν ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβήν. ΙΠΤΗΝΩΝ. τουτέστιν ὀρνέων. λείπει δὲ ἡ ἀπὸ, ἵν' ᾖ, ἀπὸ τῶν πτηνῶν. ΟΙΝΟΧΥΤΟΥ ΠΟΜΑΤΟΣ ΗΣΘΗ. τουτέστιν, οἴνου, περιφραστικῶς, ἐνεπλήσθη, ἢ οὐδὲ οἴνου μετείληφε. ΣΤΑΤΟΝ ΕΙΣ ΤΑΩΡ. τὸ ἐξ ὄμβρου συνεστηκὸς ὕδωρ, ἢ πηγαῖον, ἢ λιμναῖον· παρὰ τὸ ἠρεμεῖν, καὶ μὴ ὑπὸ ἀνέμων κινεῖσθαι. ΠΡΟΣΕΝΩΜΑ. ἑαυτὸν ἐκίνει, ἤγουν ἐπορεύετο.

719. ΠΑΙΔΟΣ ΥΠΑΝΤΗΣΑΣ. τυχὼν Νεοπτολέμου. ΕΥΔΑΙΜΩΝ ΑΝΤΩΕΙ.

711. Legitur in omnibus libris: *εἴ ποτε τόξων πτανῶν πτανοῖς* — Vocis *πτανῶν* inepta in scholiis profertur explicatio, quæ ex glossis inter codicum lineas scribi solitis petita, ab excerptore male accepta et interpolata fuit. Glossa ad vocem *πτανοῖς* pertinebat, quæ in illa lectione non aliter accipi potest quam pro *διὰ πτανούς*. At *πτανῶν*, si recte se haberet, ad *τόξων*, *sagittas* tum notans, appositum esset. Verum quam abhorret a Sophoclis suavi facilitate duo epitheta non dissimilis significationis uni substantivo tam invenuste et languide adjungere, *ὠκυβόλων τόξων πτανῶν*! Quam inficeta est ejusdem vocis in uno versiculo repetitio, modo *volucres* sagittas per appositionem notantis, modo vice substantivi *aves!* Grassata est hic librariorum socordia, quæ exemplaria nondum temeraverat veteris scholiastæ ævo, quem manifestum est diversam lectionem ob oculos habuisse. In ejus paraphrasi *πλὴν εἴ που τοῖς* ΠΤΗΝΟΙΣ ΒΕΛΕΣΙΝ *ἐξ ὠκυβόλων τόξων ἀνύσῃ φορβήν*, poëtæ verba deprehendere facile erat, nec tamen ad ea animum appuli, antequam scholia retractarem, eorumque novum exemplar concinnarem, typis iterum describendum. En tandem locum restitutum facili nec minus certa emendatione: *Πλὴν ἐξ ὠκυβόλων Εἴποτε τόξων πτανοῖς ἰοῖς Ἀνύσειε γαστρὶ φορβάν*. Sophoclem hic agnoscent, opinor, tum qui, reclamante metro, *κτανῶν πτανοὺς* suadebat, tum is qui junctim *πτανοὺς ἀνύσειε* legebat.

[*εἴ ποτε τόξων πτανῶν πτανοῖς*. Versus est dimeter anapæsticus, vel, si mavis, tetrameter dactylicus. Hac sola observatione cohiberi poterat Parisinus editor a futili conjectura *κτανὼν πτανούς*. Ne hoc quidem postremum contra librorum fidem admittendum, suadente erudito Britanno apud Heathium. Nam dativus *πτανοῖς* idem est ac *διὰ πτανούς*.]

716. *εἴ που γνοίη*. Sic ad metri rationem legendum. Vulgo *ὅπου γνοίη*, quod nec ipsum satis ex indole linguæ est: oporteret enim *ὅπου ἂν γνοίη*.

719. *παιδὸς ὑπαντήσας*. Verbum *ὑπαντᾶν* cum tertio casu jungi solet: hic autem casum simplicis adsciscit, vacante præpositione.

Digitized by Google

εὐδαίμων ἀνύσει, 720
καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρῳ
δούρατι, πλήθει πολλῶν μηνῶν,
πατρῴαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων Νυμφᾶν, 725
Σπερχειοῦ τε παρ' ὄχθαις, ἵν'
ὁ χάλκασπις ἀνὴρ θεοῖς
πλάθει πᾶσιν, θείῳ πυρὶ παμφαὴς,
Οἴτας ὑπὲρ ὄχθων.

ΝΕ. Ἕρπ', εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς 730
λόγου σιωπᾷς, κἀπόπληκτος ὧδ' ἔχῃ;

ΦΙ. ἆ ἆ. ἆ ἆ.

ΝΕ. τί ἐστιν;

ΦΙ. οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.

ΝΕ. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;

ΦΙ. οὐ δῆτ' ἔγωγ'· ἀλλ' ἄρτι κουφίζειν δοκῶ. 735
ἰὼ θεοί.

ΝΕ. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς;

ΦΙ. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ ἆ. ἆ ἆ.

εὐδαιμονήσει. τὸ ἑξῆς· εὐδαίμων καὶ μέγας ἀνύσει. ΚΑΙ ΜΕΓΑΣ ΕΚ ΚΕΙΝΩΝ· λείπει ἔσται. τῶν κακῶν δηλονότι. ΠΑΤΡΩΙΑΝ ΠΡΟΣ ΑΥΛΑΝ. εἰς τὴν πατρίδα· ΜΗΛΙΑΔΩΝ ΝΥΜΦΑΝ. περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς. ΙΝ' Ο ΧΑΛΚΑΣΠΙΣ. ὅπου ὁ ἐκθεωθεὶς ἀνὴρ πελάζεται πᾶσι θεοῖς. λέγει δὲ τὸν Ἡρακλέα. ΠΑΜΦΑΗΣ. ἐπιφαίνεται λαμπρὸς ὢν, ὡς πῦρ.

730. ΤΙ ΔΗ ΠΟΘ' ΩΔΕ. τοῦτό φησιν, ὁρῶν τῇ νόσῳ πληττόμενον, καὶ σιωπῶντα.

732. Α Α. Α Α. ἐνοχλεῖ τῷ Φιλοκτήτῃ ἡ συνήθης νόσος. θέλει δὲ κρατῆσαι ἑαυτοῦ, διὸ προσποιεῖται, ὅταν λέγῃ ΑΛΛ' ΑΡΤΙ ΚΟΥΦΙΖΕΙΝ ΔΟΚΩ.

736. ΙΩ ΘΕΟΙ. ὁ Φιλοκτήτης διὰ τὴν εἰς οἶκον ἀνακομιδὴν, ἀπαγορεύει τὰς γιγνομένας ὀδύνας, καὶ λέγει ΙΩ ΘΕΟΙ, ὡς χαίρων διὰ τὸν Νεοπτόλεμον· οὐ δύναται δὲ ἀληθῶς.

739. Α Α. Α Α. ἀναστενάζει λοιπὸν, τῆς νόσου πλεοναζούσης.

721. *ἐκ κείνων.* Sic codd. omnes. Mendose Aldus *ἐκείνων.* gl. *τῶν κακῶν.*

729. *πᾶσιν,* quod pro *πᾶσι* ad metricam legem reponendum monuit Heathius, est in T. et in scholiis.

733. *τί ἐστιν.* Ad hiatum non attendendum, cui vitando minime inserenda particula *δέ.* Nimis concitatus esse non potest mirantis sermo. *τί ἐστι, τί εἶπας, τί οὖν* in scena frequentabantur sine aurium offensione. Vide Marklandum ad Suppl. 109. Musgravium ad Phœn. 906. Sic rursus infra 753.

Digitized by Google

ΝΕ. τί ποτε πέπονθας; οὐκ ἐρεῖς· ἀλλ' ὧδ' ἔσει
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνῃ κυρῶν.
ΦΙ. ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν. ἀτταταί· διέρχεται,
διέρχεται. δύστηνος, ὦ τάλας ἐγώ.
ἀπόλωλα, τέκνον· βρύκομαι, τέκνον· παπαὶ,
ἀπαππαπαὶ, παπᾶ, παπᾶ, παπᾶ, παπαί.
πρὸς θεῶν, πρόχειρον εἴ τι σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ', ὦ παῖ.
ΝΕ. τί δ' ἐστὶν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;
ΦΙ. οἶσθ', ὦ τέκνον;
ΝΕ. τί ἐστιν;
ΦΙ. οἶσθ', ὦ παῖ;
ΝΕ. τί σοι;
ΦΙ. οὐκ οἶδα.
ΝΕ. πῶς οὐκ οἶσθα;
ΦΙ. παππαπαππαπαί.
ΝΕ. δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.
ΦΙ. δεινὸν γὰρ, οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρ' ἐμέ.
ΝΕ. τί δῆτα δράσω;
ΦΙ. μή με ταρβήσας προδῷς.

741. ΕΝ ΚΑΚΩι ΔΕ ΤΩι. ἀντὶ τοῦ, ἔοικάς μοι ὀδυνᾶσθαι.
745. ΒΡΥΧΟΜΑΙ. ἐσθίομαι, καταναλίσκομαι. ΑΠΑΜΗΣΟΝ. θέρισον, κόψον.
752. ΙΤΤΗΝ. ὀξεῖαν βοήν. ΟΙΣΘ' Ω ΤΕΚΝΟΝ. βούλεται εἰπεῖν τὴν εἰς οἶκον ἀνακομιδὴν, ἐν νῷ λαμβάνων, μή πως καταλείψει αὐτὸν ὁ Νεοπτόλεμος· οὐ λέγει δὲ διὰ τὸ πάθος.
755. ΤΟΥΠΙΣΑΓΜΑ. ἡ ἐπείσοδος, ἡ προσθήκη.

745. *βρύκομαι.* Perperam in libris *βρύχομαι.* Hesych. *βρύξαι, δακεῖν, κατατιεῖν.* Ad quam glossam vide interpretem, et Valckenarium ad Ammonium in *βρύκειν* p. 32.

746. *ἀπαππαπαί.* Sic scribi debuit. In membr. divisim *ἀπᾶ. παπαί.* In Aldina conjunctim *ἀπαπαπᾶ.*

[747. s. *σοι—χεροῖν.* Homerica construction, quæ dicitur *καθ' ὅλον καὶ μέρος*, pro *σου—χεροῖν.* V. Heyn. ad Il. T. vi. p. 571. *Schæf.*]

755. *τοὐπίσαγμα.* Sic emendate legitur in scholiis. Huc pertinet interpretatio *ἡ προσθήκη.* Altera *ἡ ἐπείσοδος* lectioni accommodari possit, quam libri nostri exhibent *τοὐπεἰσαγμα*, Henr. Stephano merito damnatam.

Digitized by Google

ἥκει γὰρ αὕτη διὰ χρόνου, πλάνοις ἴσως
ὡς ἐξεπλήσθη. φεῦ.

ΝΕ. ἰὼ δύστηνε σύ.

ἰώ, ἰώ, 760
δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;

ΦΙ. μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἐλὼν
τάχ', ὥσπερ ἦτον μ' ὀρτίως, ἕως ἐγὼ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρὸν, 765
σῶζ' αὐτὰ καὶ φύλασσε. λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξῇκῃ τόδε·
κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾷν χρεὼν
ἕκηλον εὖθεῖν· ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν, ἐφίεμαι 770
ἑκόντα, μήτ' ἄκοντα, μηδέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα,
κἄμ', ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.

ΝΕ. θάρσει προνοίας γ' οὕνεκ'. οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε. 775

ΦΙ. ἰὼ ἰὼ δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον,

758. ΠΛΑΝΟΙΣ. ἐξοικοπορίαις. ἥκει ἡ νόσος, ἅτε ὅτε ἐκορέσθη πλανωμένη, ὡς ἐπὶ θηρὸς δὲ ποιεῖται τὸν λόγον.

764. ΗΣΤΟΥ. ἡλίωσας, ἥτεις. ΕΩΣ ΑΝΗΙ. ἀνδῷ. ΣΩΣ' ΑΥΤΑ ΚΑΙ ΦΥΛΑΣΣΕ. φύλασσε, φησὶν, αὐτὰ τὰ τόξα. ἅμα γὰρ τῷ πάθει τούτῳ ὕπνος μοι ἐπέρχεται, καὶ οὕτω παύομαι τῆς νόσου. ΟΥΚ ΕΣΤΙ ΛΗΞΑΙ. οὐκ ἔστι τῆς ὀδύνης παύσασθαι πρότερον, πρὶν κοιμηθῆναι. ΜΟΛΩΣ' ΕΚΕΙΝΟΙ. οἱ περὶ Ὀδυσσέα. ΠΡΟΣΤΡΟΠΟΝ. ἱκέτην.

776. ΤΟΝ ΦΘΟΝΟΝ ΔΕ ΠΡΟΣΚΥΣΟΝ. ἱλάσκου τὸν φθόνον, ὅστε αὐτὰ μὴ

760. ἰὼ, ἰώ. Genuinata est in membr. vocula, quam semel tantum Aldus habet: Triclinius vero plane omisit.

767. ἐξίκῃ. Sic accurate scriptum in B. Mendose Aldus et membr. ἐξῇ: Triclinius ἐξίῃ. Modo dixerat ἥκει διὰ χρόνου.

769. ἕκηλον. Sic Aldus et veteres codd. bene. Ex Triclinii interpolatione est εὔκηλον.

771. ἑκόντα, μήτ' ἄκοντα. Id est, μήτε ἑκόντα, μήτε ἄκοντα. Negatio alterius, membri ad alterum repetenda: ut in Œd. Col. 902. Ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἀγὼ ξένῳ γένωμαι τῷδε— in posteriore membro repetenda ἀπὸ κοινοῦ prioris negatio, ἀγὼ δὲ μὴ γένωμαι γέλως. Vide Eustathium p. 1694. l. 7. Hac quidem ratione defenditur plurimorum librorum lectio in Œd. T. 333. Ἐγώ τ' ἐμαυτὸν, οὔτε σ' ἀλγυνῶ. verum præstat ea quam secuti sumus.

774. θάρσει προνοίας γ' οὕνεκ'. Sic in B. Alii particulam omittunt. Confide, quod ad meam quidem providentiam spectat.

Digitized by Google

μή σοι γενέσθαι πολύπον' αὐτὰ, μηδ' ὅπως
ἐμοί τε, καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.
ΝΕ. ὦ θεοὶ, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς, ὅποι ποτὲ
θεὸς δικαιοῖ, χῷ στόλος πορσύνεται.
ΦΙ. ἀλλ' οὖν δέδοικα μὴ ἀτελὴς εὐχὴ, τέκνον.
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.

γενέσθαι σοι πολύστονα, πικρὰ, καὶ αἴτια κακῶν. ΜΗΔ' ΟΠΩΣ. *μηδ' ὁμοίως ἐμοὶ καὶ τῷ Ἡρακλεῖ.*

784. ΚΗΚΙΟΝ ΑΙΜΑ. *ἀναῤῥέον, ἀναδιδόμενον.* Ὅμηρος· (Ἰλ. ψ. 507.) *πολὺς*

780. *κεὐσταλής.* Sic emendate scriptum in B. Perperam in aliis *καὶ εὐσταλής.* Atticis *καὶ* semper eliditur. In Stobæi Florilegio p. 83. editionis Grotii, corrigenda similis scripturæ menda: *Καλόν γ' ἀληθὴς κἀτενὴς παῤῥησία.* Perperam ibi excusum *καὶ ἀτενής.*

781. *πορσύνεται.* Huc pertinet Photii glossa, quam vide in Lexico. Verum explicatio illa inter grammaticorum nugas referenda. *πορσύνεται* hic valet *παρασκευάζεται, ἑτοιμάζεται.*

782. *ἀλλ' οὖν δέδοικα μὴ ἀτελὴς εὐχὴ, τέκνον.* Sic legendum, ut Toupius monuit Cur. Nov. in Suidam p. 105. Omittitur verbum *ᾖ* vel *γένηται.* Nihil interest scribaturne *μὴ ἀτελὴς,* an *μὴ 'τελὴς,* ut in his versibus apud Stobæum: *Ἀλλ' ἡ φρόνησις ἡ ἀγαθὴ, θεὸς μέγας. Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν.* quos alii libri sic plene scriptos exhibent, alii cum elisione *ἡ 'γαθὴ, μὴ 'δικῶν.* Certum est veteres Græcos vocales omnes pronuntiasse. *μὴ* ante vocalem longam aut diphthongum cum ea coalescit; si sequatur vocalis brevis, hæc eliditur, seu potius raptim pronuntiatur, ita ut in metri scansione nullius sit momenti. Aldus et veteres codd. dant: *ἀλλὰ* (B. *ἀλλ' οὐ*) *δέδοικ' ὦ παῖ μή μ' ἀτελὴς εὐχή.* Triclinius ex antiquo exemplari vel ex conjectura reposuit: *ἀλλ' οὖν δέδοικα μή μ' ἀτελὴς εὐχὴ, τέκνον.* Varia lectio superscripta *μή σ' ἀτελής.* Varietas in pronomine ex ejus inutilitate orta, unde hæsitarunt librarii utrum aptius esset *μοὶ* an *σοί.* Neutrum a poëta est.

[In Aldina et in veteribus codd. sic scriptus est hic versus: *ἀλλὰ* (in B. *ἀλλ' οὐ*) *δέδοικ' ὦ παῖ μή μ' ἀτελὴς εὐχή.* Triclinius vel ex antiquo exemplari, vel ex conjectura dedit: *Ἀλλ' οὖν δέδοικα μή μ' ἀτελὴς εὐχὴ, τέκνον.* varia lectio superscripta *μή σ' ἀτελής.* Id est *μή μοι,* vel *μή σοι ἀτελής.* Pronomen melius abest plurimis de causis. Ac primo quidem ex eo quod incertum sit, utrum ab auctoris manu sit, colligi potest neutrum necessarium esse, quod satis liquet. Deinde sic vitatur anapæstus in quarta sede: denique non placet *μοι* ante vocalem brevem elisum, quod vereor ut recte fieri posse vere dixerim in nota ad Trach. 1221. Ibi *σ' ἐπισκήπτω* accipi potest et debet pro *ἐπισκήπτω σε.* Construitur enim cum accusativo personæ hoc verbum. Euripid. Iphig. T. 701. *Πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε.* sic rursus in Alcestide 372. *ἐπισκήψω τούσδε, hisce mandam.* *μὴ* ante vocalem longam aut diphthongum cum ea coalescit: si sequatur vocalis brevis, ea eliditur, seu raptim pronuntiatur, ita ut in metri scansione pro nulla habeatur. Nihil interest scribaturne *μὴ ἀτελὴς* an *μὴ 'τελὴς,* siquidem certum est olim vocales omnes pronuntiari solitas fuisse, et in scriptura pingi. Sic apud Stobæum Floril. Grotii p. 17. *Ἀλλ' ἡ φρόνησις ἡ ἀγαθὴ, θεὸς μέγας.* pag. 61. *Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν.* Tam bona est ea scriptura, quam illa cujus mos invaluit *ἡ 'γαθὴ, ὁ μὴ 'δικῶν.* Quin postrema quandoque moram lectori creare potest.]

784. *κηκῖον αἷμα.* Supra 697. *αἱμὰς κηκισμένα ἑλκέων.* Verbum est neu-

Digitized by Google

παπαὶ, φεῦ. 785
παπαὶ μάλ'. ὦ πούς, οἷά μ' ἐργάσει κακά.
προσέρπει,
προσέρχεται τόδ' ἐγγύς. οἴ μοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα, μὴ φύγητε μηδαμῆ.
ἀτταταί. 790
ὦ ξένε Κεφαλλὴν, εἴθε σου διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε. φεῦ, παπαί.
παπαὶ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον; 795
ὤ μοι μοι.
ὦ θάνατε, θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ, οὐ δύνῃ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν,
τῷ Λημνίῳ τῷδ' ἀνακυκλουμένῳ πυρὶ 800

δ' ἀνεκήκιεν ἱδρώς. Ω ΞΕΝΕ ΚΕΦΑΛΛΗΝ. ὦ Ὀδυσσεῦ. ΤΡΕΦΟΙΤΕ. λάβοιτε ἀντ' ἐμοῦ. ΤΩι ΛΗΜΝΙΩι ΤΩιΔ' ΑΝΑΚΑΛΟΥΜΕΝΩι ΠΥΡΙ. παρακαλοῦντι, ἐν γὰρ Λήμνῳ ἐργαστήριον τοῦ Ἡφαίστου, ἔνθα καὶ κρατῆρες πυρός. ΚΑἸΓΩ ΤΟΙ ΠΟΤΕ. ὅτε τὴν πυρὰν τοῦ Ἡρακλέους ἀνῆψα. ΤΟΥΤ' ΕΠΗΞΙΩΣΑ ΔΡΑιΝ. τὸ κατακαῦσαι. ΤΙ ΣΙΓΑΙΣ. λαβὼν γὰρ τὰ τόξα ὁ Πύῤῥος, ἐσιώπησεν, ἀπορῶν τί ἄρα ποιήσειεν.

trum, cujus utraque forma promiscue adhibetur: quod obtinet etiam in aliis verbis, quæ passiva significatione gaudent. Sic 240. in αὐδᾶμαι παῖς Ἀχιλλέως passiva significatio obtinet: at 852. αὐδῶμαι licet passiva forma active significat *dico*. Plurima hujus generis recenset Eustathius p. 806.

790. ἀτταταί. Sic est in B. In membr. et in Aldina ἀτταταῖ. Parum interest hoc an illo modo legatur. Optimum fuisset ἀτατταταί, basis iambica.

[795. τὸν ἴσον χρόνον. Conf. infra v. 1114. *Schæf.*]

[798. δύνῃ. "Magis Attica forma, δύνᾳ." Porsonus ad Euripid. Hecub. v. 257. Alii hanc formam dicunt Doricam, ut Schol. Victor. ad Homer. Il. xiv. v. 199. (Heyn. T. vi. p. 652.) ubi recte legitur ἐπίστᾳ, δύνᾳ. Theocritus Idyll. x. v. 2. οὔτε τὸν ὔγμον ἄγειν ὀρθὸν δύνᾳ. quod cave mutes. De δύνῃ, quod habent etiam Aurea Carmina v. 8. et 19., vid. Etymolog. M. c. 484, 34. ἐπίστᾳ legas in Æschyli Eumen. v. 86. et 578. Sch. 1. ἐπίστῃ in Theogonide v. 1043. Br. *Schæf.*]

800. ἀνακυκλουμένῳ. Sic legimus ex sagacissimi viri certa emendatione. Libri omnes habent ἀνακαλουμένῳ, cum gl. παρακαλοῦντι. Lectio et interpretatio perinde mendosa et inepta est. Vide Toupii Cur. Nov. in Suidam p. 91. Dubitat Berolinensis editor an ἀνακυκλεῖσθαι de flamma dici possit. Quippini? quum *rotantes flammas*, et *globos flammarum* Horatius et Virgilius non refugerint. Sed ἀνακυκλουμένῳ si suspectum habeatur, quanto magis explodendum ἀνακυλιομένῳ, quod significatione nihil aut parum differt, prosodiæ autem ratione in hunc versum intrare non potest? κυλίω penultimam producit, nec synizesis hic locum habet.

Digitized by Google

ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
τὸν τοῦ Διὸς παῖδ', ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σώζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φῄς, παῖ;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὢν, τέκνον, κυρεῖς;
ΝΕ. ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.
ΦΙ. ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ'· ὡς ἦδ' ἐμοὶ
ὀξεῖα φοιτᾷ, καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ' ἀντιάζω, μή με καταλίπῃς μόνον.
ΝΕ. θάρσει, μενοῦμεν.
ΦΙ. ἦ μενεῖς;
ΝΕ. σαφῶς φρόνει.
ΦΙ. οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.
ΝΕ. ὡς οὐ θέμις γ' ἐμοί 'στι σοῦ μολεῖν ἄτερ.
ΦΙ. ἔμβαλλε χειρὸς πίστιν.
ΝΕ. ἐμβάλλω μενεῖν.
ΦΙ. ἐκεῖσε νῦν μ' ἐκεῖσε—
ΝΕ. ποῖ λέγεις;
ΦΙ. ἄνω—
ΝΕ. τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
ΦΙ. μέθες, μέθες με.
ΝΕ. ποῖ μεθῶ;
ΦΙ. μέθες ποτέ.
ΝΕ. οὔ φημ' ἐάσειν.
ΦΙ. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
ΝΕ. καὶ δὴ μεθίημι. τί δὲ δὴ πλέον φρονεῖς;
ΦΙ. ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
τὸ γὰρ κακὸν τόδ' οὐκ ἔτ' ὀρθοῦσθαί μ' ἐᾷ.
ΝΕ. τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου

805 810 814 820

812. ΞΟΤ ΜΟΛΕΙΝ ΑΤΕΡ. πρὸς τὴν ὑπόθεσιν καὶ τοῦτό φησι, διὰ τὸ τὸν χρησμὸν εἶναι, μηδέτερον αὐτῶν μόνον πορθήσειν τὸ Ἴλιον.
814. ΕΚΕΙΣΕ ΝΥΝ Μ' ΕΚΕΙΣΕ. διὰ τούτων ἔοικεν ὁ Φιλοκτήτης παραφρονεῖν ὑπὸ τῆς νόσου. ΤΙ ΠΑΡΑΦΡΟΝΕΙΣ. τί ἐκτὸς φρενῶν γέγονας;
818. ΤΙ ΔΗ ΠΛΕΟΝ ΦΡΟΝΕΙΣ. ἀντὶ τοῦ, ὠφελιμώτερον ἐμοῦ.
820. ΟΤΚ ΕΤ' ΟΡΘΟΥΣΘΑΙ Μ' ΕΑΙ. εἰκὼν ταῦτα ὁ Φιλοκτήτης ἐκοιμήθη.
821. ΤΟΝ ΑΝΔΡ' ΕΟΙΚΕΝ. ἔοικεν ὁ ὕπνος τὸν ἄνδρα οὐκ εἰς μακρὰν καταλήψεσθαι. ΤΠΤΙΑΖΕΤΑΙ. κλίνεται, ἢ ὀπίσω ῥίπτεται. ΜΕΛΑΙΝΑ Τ' ΑΚΡΟΥ. νεῦρον βαγὲν ἀπὸ τοῦ ἄκρου ποδὸς αἷμα ἀνίησιν.

Digitized by Google

ἔξειν. κἄρα γὰρ ὑπτιάζεται τόδε,
ἰδρὼς γέ τοι νιν πᾶν καταστάζει δέμας,
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἔκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

ΧΟ. Ὕπν' ὀδύνας ἀδαὴς, Ὕπνε δ' ἀλγέων, στροφή.
εὐαὴς ἡμῖν ἔλθοις,
εὐαίων, εὐαίων ἄναξ·
ὄμμασι δ' ἀντίσχοις τάνδ' αἴγλαν,
ἃ τέταται τανῦν.
ἴθι, ἴθι μοι παιών.
ὦ τέκνον, ὅρα γε ποῦ στάσει,
ποῖ δὲ βάσει, πῶς δ' ἐμοὶ
τἀντεῦθεν φροντίδος. ὁρᾷς
ἤδη, πρὸς τί μενοῦμεν πράσσειν;
καιρός τοι πάντων γνώμαν. ἴσχων
πολὺ παρὰ πόδα κρέσσος ἄρνυται.

ΝΕ. ἀλλ' ὅδε μὲν κλύει οὐδέν· ἐγὼ δ' ὁρῶ, οὔνεκα θήρας
τήνδ' ἀλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.

827. ΥΠΝΕ Δ' ΑΛΓΕΩΝ. ἀπὸ κοινοῦ τὸ ΑΔΑΗΣ, ἤγουν ἄπειρε. ΕΥΑΗΣ, εὔπνους. ΕΥΑΙΩΝ. εὐμενὴς, καλῶς ἄγων ἡμῖν τὸν αἰῶνα. ΟΜΜΑΣΙ Δ' ΑΝΤΕΣΧΟΙΣ. κάτεχε, φησὶ, τὸ δραστικὸν, ὅπερ νῦν ἥπλωται καὶ διαχεῖται τῇ τοῦ ὕπνου ἀχλύϊ. τὴν τοιαύτην δὲ αἴγλην, ἥ τις νῦν τέτασαι, ἀντέχοις τοῖς ὄμμασι, ἤτοι ἐναντιωθείης τοῖς ὄμμασι τοῦ Φιλοκτήτου, καὶ μὴ ἐάσῃς αὐτὸν βλέψαι νῦν. ἡ ΑΙΓΛΗΝ λέγει τὸν ὕπνον, τὸν γενόμενον αὐτῷ παραχρῆμα, ὃς ἐστιν αὐτῷ αἴγλη καὶ φῶς, ἀπαλλάττων τῶν ὀδυνῶν. ΟΡΑ ΠΟΤ ΣΤΑΣΗΙ. ποῦ στήσῃ τῆς γνώμης, ποίας γνώμης κρατήσεις. ΤΑ'ΝΤΕΤΘΕΝ. τὰ μετὰ ταῦτα. ΠΩΣ ΟΡΑΙΣ ΦΡΟΝΤΙΔΟΣ. ἀντὶ τοῦ, ἐννοεῖς; ΚΑΙΡΟΣ ΤΟΙ ΠΑΝΤΩΝ. ἐπεὶ ἡ μετὰ εὐκαιρίας σύνεσις, πολλῶν ἐπικράτειαν ἐν ἑτοίμῳ καρποῦται. ὁ δὲ νοῦς· ὁ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως ἐπιμελούμενος πολλοῖς εὐδοξίαν σύνεγγυς παρέχει. ΠΑΡΑ ΠΟΔΑ. πλησίον. ΑΡΝΥΤΑΙ. ἀποφέρεται.

840. ΤΗΝΔ' ΑΛΙΩΣ ΕΧΟΜΕΝ. τὴν θήραν τῶν τόξων μάτην ἔχομεν, χωρὶς τοῦ Φιλοκτήτου πλέοντες. ΚΟΜΠΕΙΝ Δ' ΕΣΤ' ΑΤΕΛΗ. τὸ δὲ ἐννοεῖν καὶ ἐπαγγέλλεσθαι ἀτέλεστα ψευδόμενον, αἰσχρὸν ὄνειδος.

830. Versus est tetrameter dactylicus: proinde scriptum oportuit ἀντίσχοις, non, ut in libris est, ἀντέχοις.

[Scholion in membr. ἐναντιωθεὶς τοῖς ὄμμασι τοῦ Φιλοκτήτου, μὴ ἐάσῃς αὐτὸν βλέψαι ταυῦν. In scholiorum editione Romana perperam insertum fuit καὶ, quod deletum volueram.]

833. ὅρα γε. Particula in veteribus codd. et in Aldina omissa. In proba scriptura conspiraverunt hic librarii, quod raro contigit: ποῦ στάσει, ποῖ δὲ βάσει. Quemadmodum in Aj. 1237. legi debet ποῦ βάντος, ἢ ποῦ στάντος.

838. παρὰ πόδα. id est εὐθέως. Sic veteres libri. Triclinius παρὰ πόδας, quod perinde est. Verum syntica non erat causa cur mutaret.

Digitized by Google

τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ' ἔστ' ἀτελῆ ξὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

ΧΟ. ἀλλὰ, τέκνον, τάδε μὲν θεὸς ὄψεται· ἀντιστρ.
ὧν δ' ἂν ἀμείβῃ μ' αὖθις,
βαιάν μοι, βαιάν, ὦ τέκνον, 845
πέμπε λόγων φάμαν· ὡς πάντων
ἐν νάσῳ εὐθρωκτὰς
ὕπνος οὔτινος λεύσσειν.
ἀλλ' ὅτι δύναιο μάκιστον,
κεῖνό μοι, κεῖνο λάθρα 850
ἐξιδοῦ, ὅ τι πράξεις.
οἶσθα γὰρ ἃ γ' αὐδῶμαι, τευτὰν
εἰ τούτῳ γνώμαν ἴσχεις, μάλα τοι
ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.

845. ΒΑΙΑΝ ΜΟΙ. μικρὰ καὶ ἠρέμα μοι, φησὶ, διαλέγου, μή ποτε ἀκούσῃ καιμένος. ΕΥΔΡΑΚΗΣ ΥΠΝΟΣ. ἀντὶ τοῦ, ἐλαφρὸς πρὸς τὸ ταχὺ ἀναβλέψαι καὶ ἐγερθῆναι. ἀντὶ τοῦ, ὁ ὕπνος ὁ ἐν τῇ νόσῳ ταχέως βλέπει· ἤτοι ὁ νοσῶν ταχέως ἐκ τοῦ ὕπνου ἀνίσταται. λείπει δὲ τὸ ὡς. βούλεται γὰρ λέγειν, ὥστε λεύσσειν. ΤΙΝΟΣ ΑΤΙΝΟΣ. ὡς μὴ ἠγεῖσθαι τοῦτον ὕπνον ὑπάρχειν. ΜΑΚΙΣΤΟΝ. μέγιστον, εὐσύμβολον, σύμφορον. ΕΞΙΔΟΥ. θεώρησον, βλέψον. πλεονάζει γὰρ ἡ ἐξ, καθάπερ καὶ ἐπὶ τούτων, ἐξεπίστασο, ἀντὶ τοῦ ἐπίστασο, καὶ ἐκδίδαξον, ἀντὶ τοῦ δίδαξον. ΟΙΣΘΑ ΓΑΡ ΟΝ Γ' ΑΥΔΩΜΑΙ. διὰ μέσου τοῦτο εἴρηκε. γινώσκεις ὃν αὐδῶμαι, ἀντὶ τοῦ αὐδῶ καὶ λέγω, ἤγουν τὸν Φιλοκτήτην. ΕΙ ΤΑΥΤΑΝ ΤΟΥΤΩι ΓΝΩΜΑΝ. εἰ τὴν αὐτὴν τῷ Ὀδυσσεῖ γνώμην ἔχεις, ὥστε αἴρειν τὸν Φιλοκτήτην ἐντεῦθεν. ΑΙΒΟΡΑ ΠΤΚΙΝΟΙΣΙΝ. ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον. λείπει οὖν ὁ καί. γράφεται ΠΤΚΝΟΙΣΙΝ, ἵν' ᾖ, ἐν πράγμασι πυκνοῖς συνιδεῖν τὸ πρακτέον, ἄπορον.

[845. s. εὐδρακὴς—λεύσσειν. Infinitivus ex abundanti additus. Simili pleonasmo Orpheus Argon. v. 926. (921.) οὐ φατὸν εἰκοῦν. quod contra Ruhnkenium recte tuetur Hermannus comparans Æschyli Prom. v. 772. οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τάδε. Similius etiam Aristophanis Av. v. 1713. οὐ φατὸν λέγειν. Eodem modo Latini, e. g. *dictu effabilis*, quod nonnulli legerunt in Virgilii Æn. iii. v. 624. Schæf.]

849. ἀλλ' ὅτι δύναιο μάκιστον. *Sed quam potes maxime. μάκιστον* idem est quod *μέγιστον*. Nihil fœdius, nihil ineptius excogitari posse opinor Triclinii interpolationem: 'Αλλ' ὅ τι δύναιο μάκιστον. Κεῦθό μοι γὰρ μέγιστον λάθρᾳ ἐξιδοῦ ὅ τι πράξεις. Istaccine tamdiu pro Sophocleis haberi potuisse!

852. Aldus et veteres codd. habent: οἶσθα γὰρ ὃν αὐδῶμαι, εἰ ταυτὰν τούτῳ —metro corrupto. Versus esse debet tetrameter dactylicus. γὰρ initio positum refertur ad suppressam partem sententiæ, quæ sic plene enuntiasi debebat: εἰ ταυτὰν γνώμαν ἴσχεις τούτῳ, ὃν οὐκ ὀνομάζω, οἶσθα γὰρ ὃν γ' αὐδῶμαι.

853. μάλα τοι ἄπορα πυκνοῖς ἐνιδεῖν πάθη. False est Scholiastæ interpretatio: ἄπορόν ἐστι καὶ τοῖς συνετοῖς ἰδεῖν τὸ πρακτέον. Hoc per se quidem non usquequaque verum est, siquidem prudentia eo maxime commendatur, quod qui ea pollent, ex rerum angustiis facilius se expediant: verum est a sententia Chori longe alienissimum. Is enim statim ostendit facillimum esse, quod facto opus ceuset, quodque Neop-

Digitized by Google

οὖρός τοι, τέκνον, οὖρος· ἐπῳδός. 855
ὦ νὴρ δ' ἀνόμματος,
οὐδ' ἔχων ἀρωγάν,
ἐκτέταται νύχιος,
(ἀλεὴς ὕπνος ἐσθλός.)
οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων· 860
ἀλλ' ὥς τις Ἀΐδᾳ παρακείμενος,
ὁρᾷς, βλέπει. καίρια φθέγγου·
*τόδ' ἀλώσιμον ἐμᾷ φροντίδι, παῖ,

* τὸ δ', ed. 1. 2.

855. ΟΥΡΟΣ. ἐπιτήδειος καιρός. ΑΝΟΜΜΑΤΟΣ. ἐστέρηται τοῦ φωτός. ΕΚΤΕΤΑΤΑΙ ΝΥΧΙΟΣ. ἐκεῖ κατὰ νύκτα καθεύδουσι, παρὰ τοῦτο εἶπε· τὴν ἡμέραν νύκτα ἔχων, ἀντὶ τοῦ, κοιμώμενος. τὸ δὲ ἐξῆς. ἐκτέταται νύχιος οὐ χερὸς οὐ ποδὸς ἄρχων, ἀντὶ τοῦ, οὐδὲν τῶν μελῶν δυνάμενος κινεῖν, οὐδὲ βλέπειν. ΑΛΕΗΣ ΤΙΝΟΣ ΕΣΘΛΟΣ. ὁ ὕπνος ὁ ὑπὸ τὴν ἀλέαν τοῦ ἡλίου, σύμφορος ἡμῖν ἐστι, καὶ τοῖς πράγμασιν ἀγαθός. τοῦτο δὲ καθ' ἑαυτὸν φησιν. ΑΛΕΗΣ. θερμός· παρὰ τὴν ἀλέαν. Ὅμηρος· (Ὀδ. ρ'. 23.) ἀλέη τε γένηται. ΤΟ Δ' ΑΛΩΣΙΜΟΝ. τὸ δὲ

tolemo suadet, nempe ut dormientem nihilque sentientem Philoctetam in navem transportet. Hæc summa est totius sermonis Chori, qui de industria obscure loquitur, ne, si quid forte suorum verborum percipiat expergefactus Philocteta, insidias sibi strui sentiat. Plana sunt, si quid recte judico, omnia, ita ut valde mirer a veteri enarratore tam præpostere accepta fuisse. *οἶσθα γὰρ ἐν γ' αὐδῶμαι, scis enim quem loquor: εἰ τούτῳ ταυτὰν γνώμαν ἴσχεις, si eum eo idem sentis.* Ista de Ulysse, neutiquam de Philocteta, intelligenda. Quis, nisi fungus sit, dubitare queat, an ON et ΤΟΥΤΩι ad eamdem personam referantur? *μάλα τοι γίγνεται τοῖς πυκνοῖς ἐνιδεῖν πάθη ἄπορα, maxime evenit prudentibus ut dispiciant res difficiles.* Id est, *si cum Ulysse sentis hunc virum ad Trojam esse abducendum, tibi, qui prudens es, statim apparebit, qui te ex hac difficultate extrices.* Infinitivus *ἐνιδεῖν* pendet a suppresso verbo, quod ipsa sententia suggerit *γίγνεται, ἐγγίγνεται, ἔξεστι, ἔστιν*, aut simile.

856. *ὦ'νήρ.* Perperam vulgo *ὠνήρ.*

862. *ὁρᾷς. Vides, viden'.* Sic mediæ sententiæ in colloquiis inseri solet *ὁρᾷς*, ut apud Comicum Nub. 355. *Καὶ νῦν, ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦθ' ἐγένοντο γυναῖκες.* Anacreon Od. ix. *Καὶ νῦν, ὁρᾷς, ἐκείνου Ἐπιστολὰς κομίζω.* Pessime vulgo *ὁρᾷ, βλέπει*—Sequitur *καίρια φθέγγου, opportuna edice*, id est *quæ tempori conveniant, quæque e re nostra sint jube.* Vulgo legitur *φθέγγει.* In membr. superscriptum pro varia lectione *φθέγγῃ.* Prius non modo sensu cassum est, verum etiam plane barbarum: forma enim activa *φθέγγω* Græcis nullo fuit in usu. Alterum *φθέγγῃ* ipsum quoque ineptissimum est, *opportuna loqueris.* Atqui ne verbum ille quidem unum dixerat.

863. *τόδ' ἀλώσιμον ἐμᾷ φροντίδι. Hocce, hoc negotium, res quam agimus: ἀλώσιμόν ἐστι*, id est, *ἁλῶναι δύναται, capi, confici potest: ἐμᾷ φροντίδι, solertiæ meæ, per meam solertiam*; vel, si mavis, *meo judicio.* Non patitur linguæ indoles nec usus, ut *τὸ ἁλώσιμον* accipiatur pro *ἡ ἅλωσις, modus quo capiatur.* Proinde nec *ἀνάκειται*, nec *προσήκει* aut *μέλει* subauditur: verum *ἐστὶ*, quæ ellipsis omnium est frequentissima. Innuit Chorus se Philoctetam minimo labore in navem translaturum, si Neoptolemus jubeat, idque maxime expedire, quum vacet periculo. Hesych. *ἁλώσιμον, ληφθῆναι δυνάμενον.* Idem quod *ἁλωτὸν* in Œd. T. 111. *τὸ δὲ ζητούμενον, ἁλωτόν.*

[*Τόδ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ. Πόνος ὁ μὴ φοβῶν κράτιστος.* Sic distingui debuit: male excusum divisim

Digitized by Google

πόνος ὁ μὴ φοβῶν, κράτιστος.
ΝΕ. Σιγᾷν κελεύω, μηδ' ἀφεστάναι φρενῶν· 865
κινεῖ γὰρ ὥνηρ ὅμμα, κἀναγεῖ κάρα.
ΦΙ. ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγώ,
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα 870
μεῖναι, παρόντα καὶ ξυναφελοῦντά μοι.
οὕπουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐφόρως

ἀγρεύσιμον, ὃ ἐστι πέρας, ἀνάκειται τῇ ἐμῇ φροντίδι. ΠΟΝΟΣ Ο ΜΗ ΦΟΒΩΝ. ὁ πόνος ὁ μὴ φόβον ἔχων, κράτιστός ἐστιν· ὁ μὴ πρὸς κίνδυνον ὁρῶν. ἀντὶ τοῦ, μὴ φοβηθῶμεν, πάντα γὰρ ἀνύσομεν.

868. ΟΙΚΟΤΡΗΜΑ. φυλακὴ, παρουσία. ΕΞΗΤΥΧΗΣΑ. ἐνεθυμήθην, ἐνόμισα.

τὸ δ'. oportuit τόδ', quod valet *hocce, hoc negotium, res quam agimus*: ἀλώσιμόν ἐστι, id est ἁλῶναι δύναται, *capi, confici potest*: ἐμῇ φροντίδι, *solertiæ meæ, per meam solertiam*. Non patitur linguæ indoles, nec usus ut τὸ ἁλώσιμον accipiatur pro ἡ ἅλωσις, *modus quo capiatur*. Proinde nec ἀνάκειται, nec προσήκει aut μέλει subauditur: verum quod simplicissimum est, et ellipsi omnium frequentissima, ἐστὶ, hoc sensu: *Negotium hoc, ô fili, mea solertia confici potest: labor absque metu optimus*. Sic vertere debui ex Græcis bene scriptis et distinctis in apographo meo, quod ante oculos non habui, quum versionem describerem: quod in ea dedi, nauci non est. His verbis innuit Chorus, se Philoctetam minimo labore in navem translaturum, si Neoptolemus jubeat, idque maxime expedire, quum vacet periculo. Hesych. ἁλώσιμαρ, ληφθῆναι δυνάμενον. Idem quod ἁλατὸν in Œd. T. 111. τὸ δὲ ζητούμενον, ἁλωτόν. Canticum hoc interpretes misere solicitos habuit: at nullus se magis contorsit, quam auctor Observationum in Philoctetæ versiones, Historiæ Academiæ nostræ insertarum T. xxxi. p. 156. Multa movendo nihil promovet vir optimus, qui Divam Criticam tristem semper expertus est, quoties Græcos Poëtas emendare aut interpretari in animum induxit.]

866. ὦ'νήρ. Perperam vulgo ἀνήρ.

870. τλῆναί σ' ἐλεινῶς. Sic primus edidit Henr. Stephanus. In codd. nostris omnibus scriptum, ut excuderunt Aldus et Turnebus, ἐλεεινῶς quatuor syllabis. Proba forma est, librariis incognita, et ubique obliterata, quam adstruxit illustris editor Homerici hymni in Cererem ad v. 283. Τοῦ δὲ κασίγνητα φωνὴν ἐσάκουσαν ἐλεινήν. Comicus in Ranis 1063. Τοὺς βασιλεύοντας βάκι' ἀμπίσχων, ἵν' ἐλεινοὶ Τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι. Stephani emendationem merito suo retinuimus, quia probabile non est, quum ita proclive esset anapæstum vitare, Tragicum nulla necessitate adactum altera forma usum fuisse.

872. εὐφόρως. Aldus et codd. εὐπόρως, cujus adverbii significatio aliena videtur. Elegans est Eldikii conjectura εὐλόφως, quod pro εὐλόγως reponendum videtur in Euripidis fragmento ex Antigona: Ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόφως φέρει Τὸν δαίμον', οὗτος ἠσσάν ἐστ' ἀνόλβιος. Vide scholia antiqua ad Aj. 61. Contrariæ significationis adverbio usus est Euripides Troas. 305. —κάρτα τοι τὐλεύθερον Ἐν τοῖς τοιούτοις δυσλόφως φέρει κακά. Verum hæc conjectura nimis ab antiquæ scripturæ vestigiis recedit: prætuli εὐφόρως, quod satis tuentur observata in minoribus scholiis ad Aj. 51. et El. 255. Facile etiam reponi poterat εὐπετῶς ex Terei Fragm. xi.

Digitized by Google

οὕτως ἐνέγκειν, οἱ ᾽γαθοὶ στρατηλάται.
ἀλλ᾽, εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σὴ, πάντα ταῦτ᾽ ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν, ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δὴ, τέκνον,
σύ μ᾽ αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν᾽, ἡνίκ᾽ ἂν κόπος μ᾽ ἀπαλλάξῃ ποτὲ,
ὁρμώμεθ᾽ ἐς ναῦν, μηδ᾽ ἐπίσχωμεν τὸ πλεῖν.

ΝΕ. ἀλλ᾽ ἥδομαι μέν σ᾽ εἰσιδὼν παρ᾽ ἐλπίδα
ἀνώδυνον βλέποντα κἀμπνέοντ᾽ ἔτι·
ὡς οὐκ ἔτ᾽ ὄντος γὰρ τὰ συμβόλαιά σου
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ᾽ αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ᾽ οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτως σοί τ᾽ ἔδοξ᾽ ἐμοί τε δρᾶν.

ΦΙ. αἰνῶ τάδ᾽, ὦ παῖ, κἄμ᾽ ἔπαιρε, ὥσπερ νοεῖς·
τούτους δ᾽ ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὐπὶ νηῒ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.

ΝΕ. ἔσται τάδ᾽· ἀλλ᾽ ἵστω τε, καὐτὸς ἀντέχου.

ΦΙ. θάρσει. τό τοι ξύνηθες ὀρθώσει μ᾽ ἔθος.

ΝΕ. παπαῖ· τί δῆτα δρῷμ᾽ ἂν ἐκ τούτων ἐγώ;

ΕΝ ΕΥΧΕΡΕΙ ΕΘΟΥ. ἐν ἐλαχίστῳ. ΔΥΣΟΣΜΙΑΣ ΓΕΜΩΝ. πεπληρωμένος σὺ τῆς ἐμῆς δυσοσμίας. ΚΟΠΟΣ Μ᾽ ΑΠΑΛΛΑΞΗι. ὅταν με ὁ κάματος ἀφῇ. γράφεται ΚΟΠΟΤ ΑΠΑΛΛΑΧΘΩ.

891. Ο᾽Υ᾽ΠΙ ΝΗΙ ΓΑΡ. ἱκανὸς αὐτοῖς γενήσεται ὁ πόνος, ἐπὶ τῇ νηῒ συνεῖναί μοι καὶ συννᾶιειν ἐμοί.

893. ΙΣΤΩ ΤΕ Κ᾽ΑΥΤΟΣ ΑΝΤΕΧΟΥ. ἵστασο καὶ ἀντιλαμβάνου.

895. ΠΑΠΑΙ ΤΙ ΔΗΤΑ. ἀδημονεῖ ὁ Νεοπτόλεμος, ἐννοῶν ὅτι μέλλει ἐξαπατᾶν τὸν Φιλοκτήτην, καὶ ἀπάγειν εἰς τὴν Ἴλιον, οὐκ ἔτι ἐπὶ τὴν πατρίδα, καθάπερ ἐπηγγείλατο.

[873. ἐνεγκεῖν. Vulgo ἐνέγκειν. *Schæf.*]

884. τὰ συμβόλαιά σου. In B. T. σοι, haud deterius. *Signa, quæ tibi inerant: signa, quæ dabas.*

895. Hic versus in veteribus libris sic legitur: παπαῖ· τί δῆτα δρῷμ᾽ ἐγὼ τοὐνθένδε γε; in B. δρῷμ᾽ ἐγὼ τοὐνθάδε λέγε. Solœca est lectio. δρῷμ᾽, quod valet δρῷμι, optativus est, qui sine particula ἄν in hac formula adhiberi non potest. Infra 1393. τί δῆτ᾽ ἂν ἡμεῖς δρῷμεν; Structuræ legibus non repugnaret, si δρῷμ᾽ accipi posset pro δρῷμαι in subjunctivo; sed mediam hujus verbi formam nescio: præterea non placet

Digitized by Google

ΦΙ. τί δ' ἐστὶν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;
ΝΕ. οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙ. ἀπορεῖς δέ του σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
ΝΕ. ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πέμπους κυρῶ.
ΦΙ. οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν, ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
ΝΕ. ἅπαντα δυσχέρεια, τὴν αὐτοῦ φύσιν
ὅταν λιπών τις, δρᾷ τὰ μὴ προσεικότα.
ΦΙ. ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς, οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ. αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς, ὀπνῶ.
ΝΕ. ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακὸς,
κρύπτων θ' ἃ μὴ δεῖ, καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ. ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε κἀπλιπὼν τὸν πλοῦν στελεῖν.
ΝΕ. λιπὼν μὲν οὐκ ἔγωγε· λυπηρῶς δὲ μὴ

899. ΠΑΘΟΥΣ. λέγει τῆς ἀπορίας ἀντὶ τοῦ, ἀπορῶν τυγχάνω.
901. ΜΗ Μ' ΑΓΕΙΝ ΝΑΥΤΗΝ ΕΤΙ. ἐρωτηματικῶς.
902. ΑΠΑΝΤΑ ΔΥΣΧΕΡΕΙΑ. ἐκείνην, φησὶ, δυσχέρειαν λέγω προσεῖναι ἀνδρὶ, τῷ ξένον τι τῆς ἑαυτοῦ διανοίας διαπραττομένῳ. ΤΗΝ ΑΥΤΟΥ ΦΥΣΙΝ. λείπει ἡ εἰς, ἵν' ᾖ, εἰς τὴν ἑαυτοῦ φύσιν.
904. ΤΟΥ ΦΙΛΕΤΑΝΤΟΣ. τοῦ Ἀχιλλέως.
907. ΟΥΚΟΥΝ ΕΝ ΟΙΣ ΓΕ ΔΡΑΙΣ. ἐν οἷς πράττεις οὐκ ἔσῃ αἰσχρὸς· ἐν οἷς δὲ φανεῖς, φοβοῦμαι.
909. Α ΜΗ ΔΕΙ. τὰ ἀληθῆ. ΛΕΓΩΝ ΑΙΣΧΙΣΤ' ΕΠΩΝ. ἀπατῶν.
910. ΕΙ ΜΗ 'ΓΩ ΚΑΚΟΣ. εἰ μὴ κακῶς καὶ ἀνοήτως βουλεύομαι, προδόσει με οὗτος ὁ ἀνήρ.
912. ΛΙΠΩΝ ΜΕΝ ΟΥΚ ΕΓΩΓΕ. οὐχ ὅτι καταλείψω σε ἄχθομαι, ἀλλ' ὅτι λυπηρῶς καὶ οὐ κατὰ τὴν σὴν γνώμην μέλλω σε ἄγειν. ἐπὶ Τροίαν δέ φησι.

scabrum τοὐνθένδε γε. Genuinam procul dubio lectionem restituimus: Παπαῖ· τί δῆτα δρῷμ' ἂν ἐκ τούτων ἐγώ; [Brunckius τί δῆτα δρῷμ' ἂν ἐκ τούτων ἐγώ; Si scripseris τί δῆτ' ἂν δρῷμ'—, nihil erit, quod amplius requiri possit. *Schæf.*]

896. ποῖ ποτ' ἐξέβης λόγῳ; Mallem legere λόγων.

900. οὐ δή σε δυσχέρεια τοῦ νοσήματος. Sic libri omnes. Nescio in qua editione Toupius viderit οὐδ' ἡ σὲ— unde novam lectionem procudit plane inficetam, τοῦδ' ἡ σὲ δυσχέρεια τοῦ νοσήματος. Morata est ista formula οὐ δή, ut et illa quæ sæpius occurrit οὐ δή που. Vim in versione expressi. Minime sollicitandæ hæ voces. Mallem equidem articulum nomini δυσχέρεια adjungi, et nisi multum venustatis esset in Neoptolemi responso, ubi eamdem vocem repetit, ἅπαντα δυσχέρεια, crederem haud male hic legi posse, Οὐ δὴ τὸ δυσχερές σε τοῦ νοσήματος. Sed nihil omnino mutandum. Articulum sæpe negligunt Tragici, ubi sermonis perspicuitati nihil detrahit ejus omissio.

Digitized by Google

πέμπω σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.
ΝΕ. οὐδέν σε κρύψω. δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. οἵ μοι, τί εἶπας;
ΝΕ. μὴ στέναζε, πρὶν μάθῃς.
ΦΙ. ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ. σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. καὶ ταῦτ' ἀληθῆ δρᾷν νοεῖς;
ΝΕ. πολλὴ κρατεῖ
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξ' ἐμοί.
ΝΕ. ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
ΦΙ. ὦ πῦρ σύ, καὶ πᾶν δεῖμα, καὶ πανουργίας

921. ΠΟΛΛΗ ΚΡΑΤΕΙ. *πολλὴ γάρ ἐστιν ἀνάγκη ταῦτα διαπράξασθαι.*
925. ΤΩΝ ΓΑΡ ΕΝ ΤΕΛΕΙ. *τῶν κρατούντων γὰρ φροντίζω μᾶλλον ἢ σοῦ. διὸ οὐ δώσω σοι ταῦτα.*
927. Ω ΠΥΡ ΣΥ. *παρὰ τὸ ὄνομα. Πύῤῥος γὰρ ἐκαλεῖτο πρώην ὁ Νεοπτόλεμος.*

913. *πέμπω, deduco, transveho.* Frequentatum Homero verbum hac significatione, ut Il. α'. 390. *Τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἐλίκωπες Ἀχαιοὶ Ἐς Χρύσην πέμπουσιν.* et Odyss. δ'. 559. *Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι, καὶ ἑταῖροι, Οἵ κεν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.* Hinc *πομπὸς deductor* supra 500. Ceterum hic codd. omnes mei habent *πέμπω*. Sola Aldina *πέμπων*, librarii vel typothetæ errore.

916. *καὶ τὸν Ἀτρειδῶν στόλον.* Mendam Aldinæ editionis, cujus immunes sunt codices, miror nec a Turnebo nec a Stephano sublatam fuisse *καὶ τῶν*, quum tamen ex metri lege vitium manifestum esset.

917. *τί εἶπας.* In B. *τί γ' εἶπας.* Inserta particula ex librarii libidine. Offendebat eum hiatus, ut et Valckenarium qui hic legi malebat *τί μ' εἶπας.* Sed nimis delicati fuerunt. Vide supra ad v. 733. Euripides sub persona Menelai apud Comicum in Thesmoph. 902. *Γύναι τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.* et secundo post versu: *Τουτὶ τί ἐστιν; ἀφασία τις τοί μ' ἔχει.* In Concion. 436. *καὶ τί εἶπε;*

[919. *μὲν πρῶτα—ἔπειτα δὲ—.* Sic ob metrum pro *πρῶτα μέν.* Conf. infra v. 1285. *μὲν μάλιστ', ἔπειτα δὲ—. Schæf.*]

927. *ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα.* Sic libri omnes. Miror sane Valckenario suspectas fuisse tres postremas voces, quarum loco comicum *παιπάλημα* reponi volebat in nota ad Eurip. Hippol. 406. Longe ineptissimum est Grammaticorum commentum, isto convicio *ὦ πῦρ σὺ, o mera pernicies,* alludi ad Neoptolemi nomen, qui etiam *Πύῤῥος* appellatus fuit. Tanquam oraculum ex tripode excepit hoc Brumœus, qui ad Græculi mentem vertit haud inelegan-ter, *O rage digne de ton nom!* quorum ejus verborum sensum non assecutus

Digitized by Google

δεινῆς τέχνημ' ἔχθιστον, οἵά μ' εἰργάσω,
οἵ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον, τὰ τόξ' ἐλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον μή μου φέλῃς.
ὤ μοι τάλας. ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι·
ἀλλ', ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταῤῥῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω.
ἀναπλαίομαι παροῦσι τοῖς εἰωθόσιν,
οἵ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ Ἀχιλλέως·
ὁμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προθείς τε χεῖρα δεξιὰν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλείους ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει.
ὡς ἄνδρ' ἐλὼν ἰσχυρὸν, ἐκ βίας μ' ἄγει·

935. ΑΑΛ' ΩΣ ΜΕΘΗΣΩΝ. *οὕτω μοι πάλιν προσέχει ἀναιδῶς, ὡς μὴ ἐάσων καὶ δώσων τὰ τόξα.* ΞΥΝΟΥΣΙΑΙ. *διατριβαί.* ΚΑΤΑΡΡΩΓΕΣ. *διεσχισμέναι, κοιλώδεις.* ΤΜΙΝ ΤΑΔ'. *ὑμῖν ταῦτα λέγω. οὐ γὰρ οἶδα ἄλλον, πρὸς ὃν τινα ἀποδύρομαι.*

est Gallici Philoctetæ auctor, qui versionem istam aspere reprehendit, cujus ipse rationem non perspexit. Quia ignis rerum omnium est celerrimus destructor, appellatio tribuitur ei, qui damnum quantum maximum intulit: nihil ultra quærendum est. Eadem ratione *ignem* eum appellat, qua senex apud Plautum de servo vaferrimo, qui hero suo bis os subleverat, eumque pecunia emunxerat, ait: *Volcani irati est filius: quaqua tangit, omne ambusit. πᾶν δεῖμα, terror merus,* dicitur is, a quo extrema omnia metuenda. *τέχνημα* ineptum esset intelligere de instrumento cum relatione ad Ulyssem artificem, tanquam si jam nosset Philocteta confictum ab Ulysse dolum, et subornatum ab eo Neoptolemum. Solemne est schema, qua res ponitur pro persona, ut in Œdipo T. *παιδουργία* pro *παιδουργὸς*, in Ajace *ἄλημα* pro *ἀλήτης*, aliaque hujus generis multa.

933. *μή μου φέλῃς.* Triclinius imperitissime *μή μ' ἀφέλῃς*, versu ruente.

934. *προσφωνεῖ.* Aldus mendose *προσφωνεῖν.*

935. *πάλιν, εἰς τοὐπίσω. πάλιν ὁρᾷ, avertere vultum.* Possit etiam simpliciter hic *ὁρᾷ* accipi, ut supra 862. *βλέπει*, jungendo *πάλιν* cum *μεθήσων. ἀλλ' ὧδ' ὁρᾷ, ὡς μήποτε μεθήσων πάλιν.*

937. *καταῤῥῶγες.* gl. *διεσχισμέναι, κοιλώδεις.*

939. *τοῖς εἰωθόσιν.* gl. *κλύειν ἐμοῦ δηλονότι.*

944. *φήνασθαι.* gl. *δεικνύναι.*

945. *ὡς ἄνδρ' ἐλὼν ἰσχυρὸν, ἐκ βίας μ' ἄγει.* Sic emendate scriptum in B. In ceteris libris pronomen *με* alienam in sedem translatum fuit.

Digitized by Google

κοὐκ οἶδ' ἐναίρων νεκρὸν, ἢ καπνοῦ σκιὰν,
εἴδωλον ἄλλως. οὐ γὰρ ἂν σθένοντά γε
εἶλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρὴ ποιεῖν;
ἀλλ' ἀπόδος. ἀλλὰ νῦν ἔτ' ἐν σαυτοῦ γενοῦ. 950
τί φῄς; σιωπᾷς. οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν·
ἀλλ' αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην 955
τόξοις ἐναίρων τοῖσίδ'· ἀλλ' αὐτὸς τάλας
θανὼν, παρέξω δαῖθ', ὑφ' ὧν ἐφερβόμην,
κἄμ', οὓς ἐθήρων πρόσθε, θηράσουσι νῦν·
φόνου φόνου δὲ ῥύσιον τίσω τάλας,
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν. 960
ὅλοιο μή πω, πρὶν μάθοιμ', εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μὴ, θάνοις κακῶς.
ΧΟ. τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στι, καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.

946. ΕΝΑΙΡΩΝ ΝΕΚΡΟΝ. *σφάττων νεκρόν· κατὰ τὴν παροιμίαν.*
953. ΨΙΛΟΣ. *τόξων γυμνός.* ΟΥΚ ΕΧΩΝ ΤΡΟΦΗΝ. *τὴν διὰ τῶν τόξων μοι γιγνομένην οὐκ ἔχων τροφήν. ἄνευ τροφῆς οὖν, ἀντὶ τοῦ ἄνευ τόξων.*
954. ΑΛΛ' ΑΥ ΘΑΝΟΥΜΑΙ. *γράφεται* ΑΛΛ' ΑΥΑΝΟΥΜΑΙ, *οἷον ξηρανθήσομαι.* ΠΑΡΕΞΩ ΔΑΙΘ'. *ἐγὼ εἰωθὼς ἐσθίειν τὰ θηρία, βρωθήσομαι νῦν ὑπ' αὐτῶν.* ΡΥΣΙΟΝ ΤΙΣΩ. *ἐνέχυρον, ἀμοιβὴν ἐκτίσω.* "Ομηρος· ('Ιλ. λ'. 673.) *ῥύσι' ἐλαυνόμενος.* ΓΝΩΜΗΝ ΜΕΤΟΙΣΕΙΣ. *μετανοήσεις.*

946. *ἐναίρων νεκρόν*, Proverbialis locutio. Vide Antig. 1029. Diogenes Laërtius in Menedemo ii. 135. *Βίωνός τε ἐπιμελῶς κατατρέχοντος τῶν μάντεων, νεκροὺς αὐτὸν ἐπισφάττειν ἔλεγε.*
950. *ἐν σαυτοῦ γενοῦ.* Sic menbr. eleganter. Vulgo *ἐν σαυτῷ*. Comicus Vesp. 642. *"Ωσθ' οὗτος ἤδη σκορδινᾶται, κἄστιν οὐκ ἐν αὐτοῦ.* ubi ante nos male legebatur *ἐν αὐτῷ*. Hujus constructionis tria exempla ex Aristide profert Abreschius Animadv. in Æschylum p. 174.
952. *σχῆμα πέτρας.* Periphrasis similis illis quas ad Trach. 908. observavimus. Tria adverbia *αὖθις αὖ πάλιν* eleganter junguntur *ἐκ παραλλήλου*. Comicus in Nub. 975. *εἶτ' αὖ πάλιν αὖθις ἀνισταμένους ξυμψῆσαι.* Frequentissimum est *αὖθις αὖ*, ut *εἶτ' αὖ*.
954. *αὐανοῦμαι.* Optimam lectionem a Scholiasta memoratam exhibet Triclinii recensio, quo magis miror a Turnebo spretam fuisse. In aliis libris legitur *ἀλλ' αὖ θανοῦμαι*, quod ex nostra lectione depravatum præ ea sordet. In El. 819. *αὐανῶ βίον*. In Comici Ran. 1084. *ὅστ' ἐκαφαύνθην γελῶν, risu enectus sum.*
959. *ῥύσιον.* Hesych. apposite ad hunc locum, *τίμημα.*
[961. Post *ὅλοιο* posui lineolam,

Digitized by Google

ΝΕ. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς, οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
ΦΙ. ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος, ἐκπλέψας ἐμέ.
ΝΕ. οἵ μοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
ΦΙ. οὐκ εἶ κακὸς σύ· πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά. νῦν δ' ἄλλοισι δοὺς,
οἷς εἶκος, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕ. τί δρῶμεν, ἄνδρες;
ΟΔ. ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
οὐκ εἶ μεθεὶς τόξα ταῦτ' ἐμοὶ πάλιν;
ΦΙ. οἵ μοι, τίς ὦ 'νήρ; ἆρ' Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦγ', ὃν εἰσορᾷς.
ΦΙ. οἵ μοι· πέπραμαι, κἀπόλωλ'. ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με, κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγὼ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα.
ΟΔ. τοῦτο μὲν,
οὐδ' ἢν θέλῃ, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ

964. ΠΡΟΣΧΩΡΕΙΝ. *ὑποχωρεῖν, πεισθῆναι.*
972. ΝΥΝ Δ' ΑΛΛΟΙΣΙ ΔΟΥΣ. *νῦν δὲ ἄλλοις δοὺς τὰ κακὰ, οἷς εἰκὸς, ἔκπλει, τὰ ἐμὰ ἐμοὶ δούς.*
974. ΤΙ ΔΡΩΜΕΝ ΑΝΔΡΕΣ. *μετανοήσας ὁ Νεοπτόλεμος ἤθελε δοῦναι τῷ Φιλοκτήτῃ τὰ ὅπλα αὐτοῦ· ἐλθὼν δὲ ὁ Ὀδυσσεὺς, καὶ θεασάμενος αὐτὸν ταῦτά φησιν,* ΟΥΚ ΕΙ ΜΕΘΕΙΣ ΤΑ ΤΟΞΑ ΤΑΥΤ' ΕΜΟΙ ΠΑΛΙΝ;
978. ΠΕΠΡΑΜΑΙ. *πεπραγμάτευμαι.*

signum abruptæ corrigendæque orationis. Conf. Trachin. v. 383. *Schæf.*]

972. *τὸ ἐξῆς· πρὸς κακῶν ἀνδρῶν μαθὼν τὰ αἰσχρὰ ἔοικας ἥκειν.*

975. Non satis accurate distinctus est hic versus, qui sic excudi debuit: *Οὐκ εἶ, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ, πάλιν;* Ordo est enim, *οὐκ εἶ πάλιν, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοί; recedere, abire* est *πάλιν ἰέναι.* Miror qui Berolinensi editori in mentem venerit hunc versum ad Philoctetæ partes referre, quasi *πάλιν* ad *μεθεὶς* pertineret, quod manifeste cum priori verbo *εἶ* jungendum.

976. *ἆρ' Ὀδυσσέως κλύω;* Mirum non est Philoctetam audita Ulyssis voce ipsum statim agnoscere, quippe quem a Mercatore audiverat mox adfuturum. At in Gallica fabula, in qua importune nugaci illi Mercatori partes ademptæ fuerunt, nec quidquam audivit miserabilis Heros, quo suspicari possit Ulyssem adventurum, quum primum subitus hic in scenam irrumpit, statim eum ille de forma novit, quod prodigii loco habendum. Vulgo in hoc versu legitur *τίς ἀνήρ*; mendose.

978. *πέπραμαι.* Sic libri omnes. Falsa est conjectura Abreschii in Ani-

Digitized by Google

στείχειν ἄμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. ἐμέ, ὦ κακῶν κάκιστε καὶ τολμίστατε,
οἵδ' ἐκ βίας ἄξουσιν; 985
ΟΔ. ἢν μὴ ἔρῃς ἑκών.
ΦΙ. ὦ Λημνία χθὼν, καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ' ἀνασχετὰ,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
ΟΔ. Ζεὺς ἴσθ', ἵν' εἰδῇς, Ζεὺς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεὺς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ. 990
ΦΙ. ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθεῖς.
ΟΔ. οὔκ· ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ' ἔγωγε.
ΟΔ. φημί. πειστέον τάδε.
ΦΙ. οἵ μοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς 995
πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους.
ΟΔ. οὔκ· ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μαθ' ὧν

987. ΗΦΑΙΣΤΟΤΕΥΚΤΟΝ. τὸ Ἡφαίστειον πῦρ. ἐν γὰρ τῇ Λήμνῳ τὰ τοῦ Ἡφαίστου ἐργαστήρια, ἔνθα καὶ κρατῆρές εἰσι πυρός. ΕΚ ΤΩΝ ΣΩΝ. λείπει κόλπων, ἢ τόπων.

997. ΟΥΚ. ΑΛΛ' ΟΜΟΙΟΥΣ. ἀντὶ τοῦ, οὐ δοῦλον, ἀλλ' ἄριστον. καὶ μετὰ ἀρίστων τὴν Τροίαν δεῖ σε πορθῆσαι. τοῦτο δὲ προτρεπτικόν.

madv. ad Æschylum p. 189. πέπραγμαι. Confer versum hujus fabulæ 579. et Antig. 1036.

983. στελοῦσι. gl. πέμψουσι.

984. τολμίστατε. Sic emendate scriptum in B. T. In membr. ut Aldus edidit, τολμήστατε, cum glossa τολμηέστατε, quod Heathii quidem opinioni favet. Verum fallitur uterque. Orta varietas ex similitudine soni vocalium ι et η in vitiosa recentiorum Græcorum pronuntiatione. Ut formantur Attica superlativa ψευδίστατος, κλεπτίστατος, ἥλιγιστος, ἔχθιστος, οἴκτιστος, ὕψιστος, a ψευδὴς, κλέπτης, ὀλίγος, ἔχθος, οἶκτος, ὕψος, sic a τόλμη, τόλμιστος, τολμίστατος. Attica sunt formæ anomalæ, quæ non ad grammaticos canonas de regularibus superlativis exigenda. Nulla obstat analogia, quin credam Græcis adhibitam fuisse, lexicographis incognitum, nomen τόλμος, *audax*, unde formatum esset τολμίστατος, ut λάλος, λαλίστατος. Alicunde forte exprometur: verum in Æschyli Persis 994. proprium est, non appellativum.

988. ἐκ τῶν σῶν. gl. τόπων.

992. τιθεῖς. Sic emendate scriptum in B. Perperam in aliis, ut in impressis, τιθεὶς. Antiquo verbo τιθέω utuntur poëtæ, cujus eadem est ratio, quæ verbi ἰέω, de quo vide notata ad Œd. T. 628. Exstat apud Theognidem v. 280. πιστὰ τιθεῖν ἐθέλων. Apud Pindarum Pyth. viii. 14. τιθεῖς ὕβριν ἐν ἄνλῳ. Apud Euripidem multis in locis, ut Heracl. 691. Herc. F. 712. Alcest. 968. Vide quæ notavimus ad Comici Lysistr. 895. Perperam in Aldina vox θεοὺς, ubi repeti debebat, omissa.

[993. Malim, ut ἀποτομωτέρως dictum, ἡδ' ὁδὸς πορευτέα. *Schæf.*]

Digitized by Google

Τροίαν σ' ἑλεῖν δεῖ, καὶ κατασκάψαι βίᾳ.
ΦΙ. οὐδέποτέ γ'· οὐδ' ἢν χρῇ με πᾶν παθεῖν κακὸν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
ΟΔ. τί δ' ἐργασείεις;
ΦΙ. κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. ξυλλάβεσθέ γ' αὐτόν· μὴ 'πὶ τῷδ' ἔστω τάδε.
ΦΙ. ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἵος μ' ὑπῆλθες· ὡς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ἦδη πλὴν τὸ προσταχθὲν ποιεῖν.
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν, οἷς τ' ἐγὼ 'παθον.
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυῆ τ' ὄντα, κοὐ θέλονθ', ὅμως
εὖ προὐδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας, νοεῖς

1002. ΠΕΤΡΑι ΠΕΤΡΑΣ. πρὸς τῇ πέτρᾳ ἐναμάξω τὴν κεφαλήν μου, ἄνωθεν πεσὼν ἀπὸ πέτρας.

1003. ΜΗ 'ΠΙ ΤΩΔ' ΕΣΤΩ. μὴ ἔστω ἐπὶ τῷ Φιλοκτήτῃ ἡ ἐξουσία τοῦ κατακρημνίζεσθαι.

1004. Ω ΧΕΙΡΕΣ. δεδεμένος ταῦτά φησιν. ΣΥΝΘΗΡΩΜΕΝΑΙ. ἁλοῦσαι καὶ συλλαμβανόμεναι. Ω ΜΗΔΕΝ ΥΓΙΕΣ. ὦ δόλιε Ὀδυσσεῦ. ΑΝΑΞΙΟΝ ΜΕΝ ΣΟΥ. ἀνάξιος ἦν, φησὶ, περιπατεῖν μετὰ σοῦ, τοῦ δολεροῦ καὶ σκολιοῦ· ἄξιος δὲ μετ' ἐμοῦ εἶναι, τοῦ οὐκ ὄντος δολεροῦ.

1014. ΑΦΥΗ. ἄκακον ἀπὸ φύσεως. ΕΝ ΖΩΣΙΝ ΝΕΚΡΟΝ. ἤτοι ὅτι κοιμώμενον αὐτὸν εἶασαν, ἢ διὰ τὸ πάθος.

999. ἢν χρῇ. Subjunctivus est χρῇ. Perperam vulgo excusum χρή.

1001. τί δ' ἐργασείεις; Aldus et veteres codd. Ulyssi hæc verba tribuunt. Triclinius perperam Neoptolemo. κρᾶτ' ἐμὸν τόδ'. Accusativus κρᾶτα neutrius generis est hic et alibi, ut Antig. 764. quod Eustathius observat ad Il. θ'. p. 700. l. 62. παρὰ δὲ Σοφοκλεῖ καὶ τὸ κρᾶτα εὕρηται καινότερον.

[1002. πέτρᾳ πέτρας. Tales ejusdem nominis repetitiones sæpius reperias. Similiter supra v. 296. ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων. v. 959. φόνον φόνου δὲ ῥύσιον τίσω τάλας. Add. Œd. Reg. v. 100. *Schæf.*]

1010. ἦδη. Perperam vulgo ἥδει.

[1011. s. ἀλγεινῶς φέρων οἷς —. Exempla hujus constructionis congessit Wesseling. ad Diodor. Sic. iii. c. 59. *Schæf.*]

1012. οἷς. Id est δι' ἅ. Dativus causæ. Vide ad Antig. 1019.

1014. κοὐ θέλονθ'. In B. κοὐκ ἐθέλοντ'.

Digitized by Google

ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προύβάλου
ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὅλοιο· καί σοι πολλάκις τόδ' εὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι.
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὖθ', ὅτι ζῶ ξὺν κακοῖς πολλοῖς τάλας,
γελῶμενος πρὸς σοῦ τε, καὶ τῶν Ἀτρέως
δισσῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καί τοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγείς,
ἔπλεις ἅμ' αὐτοῖς· ἐμὲ δὲ τὸν κανάθλιον
ἑκόντα πλεύσανθ', ἑπτὰ ναυσὶ ναυβάτην,
ἄτιμον ἔβαλον, ὡς σὺ φῂς, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι, καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλὸς, δυσώδης; πῶς θεοῖς ἕξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;

1025. ΚΛΟΠΗι. ἀπάτῃ. καὶ Ὅμηρος· (Ἰλ. α'. 132.) κλέπτε νόῳ. ΖΥΓΕΙΣ. ὑποταγεὶς. ὁ δὲ νοῦς· καί τοι σὺ μὲν ἀναγκασθεὶς στρατεύῃ. προσποιεύμενον γὰρ αὐτὸν μαίνεσθαι, Παλαμήδης ἤλεγξεν.

1028. ΩΣ ΧΡ ΦΗΙΣ. οἱ Ἀτρεῖδαί με ἐξέβαλον, ὡς σὺ λέγεις. ΚΕΙΝΟΙ ΔΕ ΧΕ. οἱ δὲ σέ φασιν. σὺ μὲν, φησὶν, ἐκείνους αἰτιᾷ· ἐκεῖνοι δὲ σέ.

1032. ΠΩΣ ΘΕΟΙΣ. τοῦτο γὰρ προφασισαμένου Ὀδυσσέως, ὅτι οὐκ ἐστι θῦσαι, τούτου ἀπιστοῦντος, ἐξέθηκαν αὐτόν.

1023. πρὸς σοῦ τε. Perperam Triclinius πρὸς σοῦ γε, et altero versu διπλῶν, pro veteri lectione δισσῶν.

1027. ἑπτὰ ναυσί. Ex Homero in catalogo navium: Τῶνδε Φιλοκτήτης ἦρχεν, τόξων εὖ εἰδὼς, Ἑπτὰ νεῶν.

1028. ἄτιμον ἔβαλον. Sic veteres codd. recte. Gl. ἐξέβαλον, unde orta Triclinii prava lectio, ἔκβαλον.

1029. τί μ' ἀπάγεσθε; Sic libri omnes, etiam Triclinii recensio. Turnebus mendose edidit τί ἀπάγεσθε; Pejori menda Stephanus τί ἀπάγετε; Sequentium editorum nullus adeo cordatus fuit, ut ex Aldina veram lectionem reponeret.

1032. πῶς θεοῖς ἕξεσθ' αἴθειν ἱερά; Libri omnes, πῶς θεοῖς εὔξεσθ' αἴθειν ἱερά; quod vertunt: *Quomodo diis votivabilis sacra crematuros?* Atqui Philoctetæ ejulatus non impediebant quin voverent, sed quin peragerent sacra. Mendosum esse εὔξεσθ' nemo non vidit: mutari debuit in ἕξεσθ', id est δυνήσεσθε. Hunc locum inauspicato attigit Piersonus Verisimil. p. 163. ubi legendum conjecit ἕξεστ', id est ἔξεστι, *licet*. Tum pro πλεύσαντος legendum opinatus est κλαύσαντος: debebat saltem κλαίοντος. Sed optimum est πλεύσαντος. *Si vobiscum navigavero, qui poteritis victimas adolere?* Scholiastes rationem reddit cur hæc dicat Philocteta, nullo ad singula verba respectu; nec ex ejus explicatione colligi potest, diversam eum a nostra lectionem ob oculos habuisse. Si quid mutandum fuisset, maluisseu ἐμοῦ ξυνόντος. [ἕξεσθ'. Piersoni conjectura, ἕξεστ', etiam mihi placet. *Schæf.*]

Digitized by Google

αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
παπῶς ὅλοισθ'. ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τονδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς, ἐμοῦ.
ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐπόψιοι,
τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτοὺς, εἴ τι κἄμ' οἰκτείρετε,
ὡς ζῶ μὲν οἰκτρῶς· εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.

ΧΟ. βαρύς τε, καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν παποῖς.

ΟΔ. πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὔ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρήζων ἔφυν,
πλὴν εἰς σέ· νῦν δὲ σοί γ' ἐκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτὸν, μηδὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν. οὐδέ σου προσχρήζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν

1036. ΕΙ ΔΙΚΗΣ ΜΕΛΕΙ. *εἰ φροντίς ἐστι τῆς δίκης τοῖς θεοῖς.*
1040. ΘΕΟΙ Τ' ΕΠΟΨΙΟΙ. *οἱ ἐφορῶντές με δυστυχοῦντα.*
1046. ΟΥΚ ΥΠΕΙΚΟΥΣΑΝ. *οὐκ ἀναδυομένην, οὐκ ἐνδιδοῦσαν ἐν τοῖς κακοῖς.*
1048. ΕΙ ΜΟΙ ΠΑΡΕΙΚΟΙ. *εἰ καιρὸς ἐπιτρέψειέ μοι.* ΑΝΔΡΩΝ ΚΡΙΣΙΣ. *δοκιμασία, ἐξέτασις.* ΧΡΗιΖΩΝ ΕΦΥΝ. *γράφεται* ΚΡΕΙΣΣΟΝ.

1035. *κακῶς ὅλοισθ'. ὀλεῖσθε δ'*— Sic omnino legendum. Perierat vis omnis sententiæ prava librorum lectione, *κακῶς ὅλοισθ'. ὅλοισθε δ'*—

1037. *ἐπεὶ οὔποτ' ἂν στόλον.* Sic veteres codd. et Aldus recte. Triclinius pessime *ἐπεὶ οὔτ' ἂν*—Metrum laborare credidit, eique consulens id plane perdidit. *ἐπεὶ οὐ* apud poëtas Atticos semper disyllabum est: nisi per crasin voces coalescerent, ingrato hiatu aures læderentur.

1039. Jungenda sunt *ἀνδρὸς ἀθλίου ἐμοῦ.*

1048. *εἴ μοι παρείκοι.* Scholiastes supplet *ὁ καιρὸς, opportunitas.* Possit etiam ex præcedente *τοῦδ'* assumi *αὐτός. Si mihi is concederet, si mihi operam dare vellet.* Male Triclinius scripsit *παρήκοι.* [*εἴ μοι παρείκοι. si mihi integrum esset.* v. Bastii mei *Kritischer Versuch über den Text des Platon. Gastmahls* p. 120. *Schaf.*]

Digitized by Google

Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν. 1060
ἡμεῖς δ' ἴωμεν. καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν, ἣν σ' ἐχρῆν ἔχειν.
ΦΙ. οἵ μοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς, ἐν Ἀργείοις φανεῖ;
ΟΔ. μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή. 1065
ΦΙ. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτὸς, ἀλλ' οὕτως ἄπει;
ΟΔ. χώρει σύ· μὴ πρόσλευσσε γενναῖός περ ὤν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
ΦΙ. ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι, 1070
λειφθήσομ' ἤδη, κοὐκ ἐποικτερεῖτέ με;
ΧΟ. ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χ' ἡμεῖς φαμέν.
ΝΕ. ἀκούσομαι μὲν, ὡς ἔφυν οἴκτου πλέως,
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ, 1075
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ' ἐκ νεὼς
στείλωσι ναῦται, καὶ θεοῖς εὐξώμεθα.
χ' οὗτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν' ἡμῖν. νὼ μὲν οὖν ὁρμώμεθον·
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς. 1080

1058. ΕΓΩ Θ' ΟΣ ΟΙΜΑΙ. *οὐ μόνον Τεῦκρός ἐστι τοξότης, ἀλλὰ κἀγὼ ὑπολαμβάνω ἐμαυτὸν τούτων ἔμπειρον εἶναι, οὐχ ἧττόν σου. Ὅμηρος·* ('Οδ. θ'. 215.)

εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι.

ΤΟΥΤΩΝ ΚΡΑΤΥΝΕΙΝ. *τῶν τόξων.* ΤΙ ΔΗΤΑ ΣΟΥ ΔΕΙ. *ἀντὶ τοῦ, τίς σου χρεία;* ΧΑΙΡΕ ΤΗΝ ΛΗΜΝΟΝ ΠΑΤΩΝ. *ἤγουν τῇ διατριβῇ τῆς Λήμνου.*

1067. ΠΡΟΣΦΘΕΓΚΤΟΣ. *προσφωνηθῆναι ἄξιος.*

1070. Η ΚΑΙ ΠΡΟΣ ΥΜΩΝ. *ἆρα καὶ ὑμεῖς μιμεῖσθε τοῦτον, καὶ ἀνηλεεῖς γενήσεσθε εἰς ἐμέ;*

1074. ΑΚΟΥΣΟΜΑΙ ΜΕΝ. *τὸ ἑξῆς· ἀκούσομαι πρὸς τοῦδε, ὃς εἰμὶ οἴκτου μεστός· οἷον καταγνωσθήσομαι ὡς ἧττον οἴκτου.* ΤΑ Τ' ΕΚ ΝΕΩΣ. *τὰ ἐπὶ τῆς νεώς.* ΣΤΕΙΛΩΣΙ. *κοσμήσωσιν.* ΕΝ ΤΟΥΤΩι. *ἐν τοσούτῳ.* ΤΑΧΕΙΣ. *γίγνεσθε δηλονότι.*

1060. *χαῖρε τὴν Λῆμνον πατῶν.* gendum censebat *χαῖρ', ὁ τὴν Λῆμνον* Nihil, meo judicio, hic desideratur. *πατῶν.* Marklandus ad Eurip. Suppl. 110. le-

Digitized by Google

ΦΙ. Ὦ κοίλας πέτρας γύαλον στροφὴ α'.
θερμόν τε καὶ παγετῶδες, ὥς σ'
οὐκ ἔμελλον ἆρ', ὦ τάλας,
λείψειν οὐδέ ποτ', ἀλλ' ἐμοὶ
καὶ θνήσκοντι συνοίσει. 1085
οἵ μοι μοί μοι.
ὦ πλησίστατον αὔλιον
λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν,
τί ποτ' ἄν μοι τὸ κατ' ἦμαρ
ἔσται; τοῦ ποτε τεύξομαι 1090
σιτονόμου μέλεος; πόθεν ἐλπίδος;
εἴθ' αἰθέρος ἄνω
πλωάδες ὀξυτόνου διὰ πνεύματος

1082. ΘΕΡΜΟΝ ΤΕ ΚΑΙ ΠΑΓΕΤΩΔΕΣ. ὃ στήλαιον θερμὸν διὰ τὸν ἥλιον, καὶ διὰ τὸ ψύχος, παγετῶδες. ἢ οὕτως· ἐν θέρει ψυχρὸν, ἐν δὲ χειμῶνι θερμόν· ἀντὶ τοῦ, ἐπιτήδειον εἰς χειμῶνα καὶ θέρος. ΓΥΑΛΟΝ δὲ, ἀντὶ τοῦ κεῦθος. κυρίως δὲ γύαλα, τὰ κοῖλα λέγεται. ἀλλ' ἐὰν οὕτω μεταφράσῃς, ἀπίθανον τὸ κοῖλον κοίλωμα, διὸ δὴ τὸ κεῦθος, ἢ τὸ ἄλσος ἀντιμεταφράζομεν. ΚΑΙ ΘΝΗΣΚΟΝΤΙ ΣΥΝΟΙΣΕΙ. ἀντὶ τοῦ, καὶ ἀπολλυμένῳ μοι σύμφορον ἔσῃ καὶ ὠφέλιμον, καὶ δέξῃ με ἀποθανόντα. ἢ οὕτω· σὺν ἐμοὶ ἔσῃ καὶ ὄψει με ἀποθανόντα, ὑπερβολικῶς, οἷον, καὶ μετὰ θάνατον συνελεύσῃ μοι, καὶ οὐ καταλείψεις με. ΤΙ ΠΟΤ' ΑΝ ΜΟΙ ΤΟ ΚΑΤ' ΗΜΑΡ. τί ἆρα τρόφιμόν μοι καθ' ἡμέραν ἔσται; οὐ γὰρ ἐπικρατῶ ἐμαυτόν. ἢ οὐ γὰρ ἔτι ἔχω ἐλπίδα. ΣΙΤΟΝΟΜΟΥ. σῖτον νέμοντος, τροφέως. ΠΟΘΕΝ ΕΛΠΙΔΟΣ. ἀπὸ ποίας ἐλπίδος;

1092. ΕΙΘ' ΑΙΘΕΡΟΣ ΑΝΩ. τὸ ἑξῆς· εἴθε αἰθέρος ἄνω ἅλωσί με ὀξύτονοι δρομάδες διὰ πνεύματος. τινὲς δὲ οὕτω· μετὰ ὀξυτόνου πνεύματος ἅλωσί με. ὀξύτονον δὲ λέγει πνεῦμα, ἀπὸ τοῦ ὀξυτόνως βοᾶν. γράφεται δρομάδες, αἱ καταιγίδες· τινὲς δὲ, πτωχάδες, ἵνα τὰς Ἁρπυίας σημαίνωσι, διὰ τὸ ἀεὶ πεινᾶν. ΠΤΩΚΑΔΕΣ. γράφεται πτωκάδες, πρωτάδες, πτωχάδες, δρομάδες. αἱ Ἁρπυῖαι. ἐπιθετικῶς, διὰ τὸ ἐπεμπίπτειν, ἢ διὰ τὴν φωνήν. εἰ δὲ γράφεται πτωχάδες, αἱ ἀεὶ πεινῶσαι. τοῦτο γὰρ πάσχουσιν οἱ πτωχοί.

1085. *συνοίσει.* gl. *ὠφέλιμον ἔσῃ.* [*συνοίσει.* Vide not. ad Theocrit. p. 228. *Schæf.*]

1089. *τί ποτ' ἄν μοι ἔσται.* Sic emendate scriptum in B. in reliquis *τί ποτ' αὖ μοι.* Frequentissima est harum vocalarum permutatio.

1093. *πλωάδες.* Aldus et codd. *πτωκάδες.* Aliæ præter hanc lectiones Scholiastæ memorantur, *πτωχάδες, πρωτάδες, δρομάδες,* quæ sunt omnes falsæ. De postrema, quam metrum respuit, res confecta est. Harpyiias intelligi apud omnes constat. Hæ cur poëtæ *πτωκάδες,* seu *πτωχάδες* dictæ fuerint, nullam rationem video. Num quia *πτώσσουσι, fugiunt et abscondunt se?* vel quia semper esuriunt, ut *πτωχοί, mendici?* sunt istæ derivationes longe ineptissimæ. Librariorum imperitia depravata fuit lectio. Ex eodem corruptelæ fonte manavit in Homeri Epigr. ix. vitiosum *πτωχάσιν,* seu *πτωκάδιν,* ubi Ernestus erudite ostendit legendum esse *πλωάδιν.* Apollonio *πλωάδες* appellantur aves Stymphalides, Argon. ii. 1054. Idem Harpyiis inditum nomen, quia et ipsæ in insula habitabant, et, tanquam marinæ volucres, volatu maria trajiciebant. Sagaciter conjicit Berolinensis editor, pro *πρωτάδες* in veterum criticorum commentariis scriptum

Digitized by Google

ἕλωσί μ'· οὐ γὰρ ἔτ' ἔσχω.

ΧΟ. σύ τοι, σύ τοι κατηξίω- στροφὴ β'. 1095
σας, ὦ βαρύποτμε·
οὐκ ἄλλοθεν ἔχῃ τύχα τᾷδ'
ἀπὸ μείζονος·
εὖτέ γε παρὸν φρονῆσαι,
τοῦ λώονος δαίμονος εἴ- 1100
λου τὸ κάκιον ἑλεῖν.

ΦΙ. ὦ τλάμων, τλάμων ἆρ' ἐγὼ ἀντιστρ. α'.
καὶ μόχθῳ λωβατὸς, ὃς ἤ-
δη μετ' οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας 1105
ναίων ἐνθάδ' ὀλοῦμαι,
αἴ αἴ αἴ αἴ,
οὐ φορβὰν ἔτι προσφέρων,
οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων

1095. ΣΥ ΤΟΙ ΚΑΤΗΞΙΩΣΑΣ. *σὺ σαυτῷ περιεποίησας τὴν νόσον, σὺ σαυτῷ τοιούτων πράξεως γέγονας, ὃ δυστυχέστατε. σὺ σαυτῷ κατηξίωσας, καὶ οὐκ ἀπό τινος τοιούτου τῇ τύχῃ ἐνέσχῃ, ἢ ἀνέσχῃ, μείζονος σοῦ. διὸ μηδένα ἄλλον αἰτιῶ, ἀλλὰ σαυτόν· ἐξὸν γάρ σοι ἀκολουθήσαντι, τὰ καλὰ διαφυγεῖν.* ΕΥΤΕ ΓΕ ΠΑΡΟΝ ΦΡΟΝΗΣΑΙ. *ὅτε γε παρόντος σοι σωφρονεῖν, καὶ τὸ λυσιτελὲς ἀπὸ λώφονος δαίμονος λαβεῖν, τὸ κάκιον εἵλου, τὸ μὴ ἐλθεῖν.* ΛΩΙΟΝΟΣ δὲ ΔΑΙΜΟΝΟΣ *λέγει, τοῦ λυσιτελεστέρου καὶ συμφέρου.*

1103. ΛΩΒΑΤΟΣ. *ἐπίτονος.* ΟΥ ΗΔΗ ΜΕΤ' ΟΥΔΕΝΟΣ. *τὸ ἑξῆς· ὃς ἤδη ἐνθάδε ἀλοῦμαι μετ' οὐδενὸς ὕστερον ἀνδρὸς εἰσαπίσω τάλας ναίων· ὁ δὲ νοῦς ἅρα ἐγὼ δύστηνος ἐνταῦθα ἁλοίαλωμαι ἀνθρώπων κεχωρισμένος.* ΟΥ ΦΟΡΒΑΝ ΕΤΙ ΠΡΟΣΦΕΡΩΝ. *ἀντὶ τοῦ προσφερόμενος. ἐκλοτε δὲ ἐμπαλίν φησι διακονούμενος, ἀντὶ τοῦ διακονῶν, καὶ στιβαδοπατούμενος, ἀντὶ τοῦ στιβαδοποιῶν.*

olim fuisse πλωτάδες, quo nomine Harpyiiae indigetari, ab insularum appellatione, in quibus sedes habebant, quae primum Πλωταὶ dictae, nomen mutarunt, et a Boreadarum conversione Στροφάδες appellatae fuerunt. Vide Apollonii Argon. ii. 295. Ingeniosa et erudita conjectura haec est, sed fidejussore caret; vellem antiqui poëtae, vel saltem grammatici auctoritate suffultam eam videre. Idcirco πλωάδες praetuli. Hesychius: Πλοάδες. (Leg. Πλοάδας.) *τῶν ἐπερχομένων τινὰς οὕτω καλοῦντας.* Miraer, ni huc respexisset.

1094. *οὐ γὰρ ἔτ' ἴσχω.* Sic bene Heathius. Vulgo, reclamante metro, *ἰσχύω.*

1109. *ἐπ' ἐμῶν ὅπλων.* Cur haec lectio Heathium offenderit, non video. Sane ejus conjecturae *ἐπ' ἐμῶν ὅπλων* structurae leges repugnant. Graecum non est *ἐπίσχων ἐμῶν ὅπλων μετὰ χεροῖν* pro *manus injiciens meis armis.* In Œdipo Col. 856. *ἐπίσχες αὐτοῦ ξένε* male vertit, *in eum manus injice, hospes.* Quin id significat *subsiste hic, hospes.* Quo tendebat, proclivioni via pervenisset legendo, *οὐ πτανῶν ἐπ' ἐμῶν ὅπλων κραταιὰς ἔτι χεῖρας ἴσχων.*/ Sed proba est librorum lectio, et mentiquam solicitanda: *οὐκ ἴσχων φορβὰν ἀπ' ἐμῶν πτανῶν ὅπλων κραταιᾶς μετὰ χεροῖν*, scilicet *ὄντων.*

Digitized by Google

κραταιαῖς μετὰ χερσὶν
ἴσχων. ἀλλ' ἐμοὶ ἄσκοπα
κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός·
ἰδοίμαν δέ νιν,
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμὰς λαχόντ' ἀνίας.

ΧΟ. πότμος σε δαιμόνων τάδε, ἀντιστρ. β'.
οὐδὲ σέ γε δόλος ἔσχ'
ὑπὸ χειρὸς ἐμᾶς. στυγερὰν
ἔχε δύσποτμον
ἀρὰν, ἀρὰν ἐπ' ἄλλοις.
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει,
μὴ φιλότητ' ἀπώσῃ.

ΦΙ. εἴ μοι μοι· καί που πολιᾶς στροφὴ γ'.
πόντου θινὸς ἐφήμενος,
γελᾷ μου, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφὰν,
τὰν οὐδείς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,

1111. ΑΣΚΟΠΑ. ἀπροσδόκητα, δόλια, ἃ οὐκ ἔστι προσκέψασθαι. γράφεται δὲ καὶ ΑΨΟΦΑ, ἀπὸ τοῦ μὴ ψοφεῖν, ἀντὶ τοῦ λαθραῖα. ΚΡΥΠΤΑ δὲ ΕΠΗ φησὶ τὰ τοῦ Ὀδυσσέως. Εἰς τὸ αὐτό. ἀλλά μοι τὰ ἀφανῆ καὶ κρυπτὰ δολίας φρενὸς ὑπέδυ με. τὸ δὲ ἑξῆς. ἀλλά μοι ὑπέδυ ἄσκοπα κρυπτά τε ἔπη δολερᾶς φρενός. ΙΔΟΙΜΑΝ ΔΕ ΝΙΝ. ὡς κατευχόμενος. γένοιτο δή μοι τὸν παραίτιον τούτων, ὧν πάσχω, τὸν ἴσον χρόνον δυστυχῆσαι, τῆς ἐμῆς λαχόντα ἀνίας. δεῖ δὲ κατὰ πληθυντικὸν ἀκούεσθαι, ἐμὰς λαχόντ' ἀνίας. ἀλλὰ τῆς ποιητικωτέρας ἡ τοιαύτη φράσις.

1116. ΠΟΤΜΟΣ ΣΕ ΔΑΙΜΟΝΩΝ. λείπει ἡ ἐξ. ἐκ θεῶν γὰρ τύχη τις τοῦτό σοι πεκλήρωκε, καὶ οὐχ ὑπ' ἐμοῦ δεδόλωσαι. κατὰ κοινοῦ τὸ ΕΣΧΕ. τὸ δὲ ἑξῆς. πότμος σε δαιμόνων τάδ' ἔσχεν· οὐδέ σε δόλος ἔσχεν ὑπὸ χειρὸς ἐμῆς. ὁ δὲ νοῦς· παῦσαι τῶν καταρῶν τούτων, ὦ Φιλοκτῆτα, μὴ διὰ τούτων κτήσῃ ἡμᾶς ἐχθρούς. θεὸς γὰρ τῆς δυστυχίας ταύτης παραίτιος, οὐχ ἡμεῖς γεγόναμεν, οὔτε δόλῳ ἐπειαελθόντες, οὔτ' ἄλλο τι πραγματευσάμενοι. ΑΡΑΝ ΕΠ' ΑΛΛΟΙΣ. δεῖ ἀκούεσθαι ἐπὶ τῶν μάτην καταρωμένων. σαυτῷ γὰρ ἐγένου αἴτιος. δεῖ δὲ καὶ οὕτως καταρᾶ τοῖς ἄλλοις, καὶ μὴ ἡμῖν. ΚΑΙ ΓΑΡ ΕΜΟΙ ΤΟΥΤΟ ΜΕΛΕΙ. μέλει μοι τὸ παραινέσαι σοι, ἵνα μὴ ἀπώσῃ τὴν φιλίαν. οἷον, οὐ θέλω σε ἐχθρὸν ἡμῖν καταστῆσαι· ἢ ὡς παραινοῦντές φασι, μὴ ἀπώσῃ τὴν φιλίαν ἡμῶν.

1125. γελᾷ μου, pro καταγελᾷ μου. Simplex pro composito. Alibi occurrit γελᾷν τινι, pro ἐγγελᾷν. Exempla vide in nota ad Comici Equites 606. Pro χερὶ Aldus et veteres codd. habent χειρὶ minus bene.

Digitized by Google

ἦ που ἐλεινὸν ἑρᾷς, φρένας εἴ τινας ἴσχεις, τὸν Ἡράκλειον ἄθλιον ὧδέ σοι
οὐκ ἔστι χρησόμενον τὸ μεθύστερον· ἀλλ' ἐν μεταλλαγᾷ πολυμηχάνου ἀνδρὸς ἑρέσσῃ, ὁρῶν μὲν αἰσχρὰς ἁπάτας, στυγνὸν δὲ φῶτ' ἐχθροδοκὸν μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ', ὅσ' ἐφ' ἡμῖν κἀκ' ἐμήσατ' Ὀδυσσεύς.

ΧΟ. ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν· στροφὴ δ'.

1131. ΤΟΝ ΗΡΑΚΛΕΙΟΝ ΑΘΛΟΝ. ἀντὶ τοῦ ἐμὲ, τὸν τοῦ Ἡρακλέους διάδοχον. ἢ ἐμὲ, τὸν τῷ Ἡρακλεῖ ἆθλον ποιήσαντα τὴν πυρὰν, καὶ ὑφάψαντα αὐτήν.

1140. ΑΝΔΡΟΣ ΤΟΙ. ἀγαθοῦ ἀνδρός ἐστι, τὸ ἀληθὲς ἐν καιρῷ λέγειν. ΔΙΚΑΙΟΝ γὰρ νῦν φησι τὸ ἀληθές. ΕΥ δὲ, τὸ ἐν καιρῷ. ὀφείλει δὲ καὶ ὁ ἀκούων μὴ ἐκφαυλίζειν τὰ λεγόμενα. τοῦτο δέ φησιν, ὅτι ὁ μὲν Νεοπτόλεμος τὸ ἀληθὲς εἶπεν, ὁ δὲ Φιλοκτήτης ἐξευτέλισεν. Εἰς τὸ αὐτό. ἀγαθοῦ μὲν ἀνδρός ἐστι τὸ δίκαιον εἰπεῖν· εἰπόντα δὲ μὴ φθονεῖσθαι. ὅτι οὐκ ἔδει σε τῷ Νεοπτολέμῳ φθονεῖν, εἰπόντι τὰ δίκαια. κατὰ κοινοῦ δὲ τὸ ΔΙΚΑΙΟΝ. ἀγαθοῦ ἀνδρός ἐστι τὸ λέγειν τὸ δίκαιον· δίκαιον δὲ, καὶ σὲ ὁμολογεῖν, ὅτι εὖ πέπρακται, ἀκούοντα δὲ τούτων, μὴ φθονερόν

1130. ἐλεινόν. Perperam vulgo ἐλεεινὸν reclamante metro.

1132. τὸν Ἡρακλείον ἄθλιον. Sic in membr. scriptum, superposita varia lectione: γρ. ἆθλον, quam agnoscunt B. et Aldus. In Triclinii recensione ἄεθλον. Sunt istæ lectiones ineptissimæ. Futiles disputationes referre piget quibus occasionem dederunt: nobis satis est veram lectionem restituisse, τὸν ἄθλιον Ἡράκλειον, supple διάδοχον, ἕταιρον, vel simile quid: *miserum Herculis socium*. Hoc conjectura assecutus est Parisinus editor.

1134. ἐν μεταλλαγᾷ. Sic B. T. In membr. μεταλλαγῇ.

1138. μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ' — Id est, μυρία αἰσχρὰ ἀνατέλλοντα ἀπ' αἰσχρῶν. Transitivum est ἀνατέλλοντα. gl. ἀναπέμποντα.

1140. Trium horum versuum sententiam sic exponit H. Stephanus: *Quod quis bene et rite fecerit, æquum est id dicere tale esse; quum autem quispiam id dixerit, minime invide calumniari oportet, quod alioqui rite factum esse negare non possumus.* Proinde verborum ordinem sic instituit: δίκαιόν τοι ἐστιν εἰπεῖν μὲν τὸ ἀνδρός τινος εὖ· εἰπόντος δὲ ἄλλου, δίκαιόν ἐστι μὴ ἐξῶσαι φθονερὰν γλώσσας ὀδύναν. Neutiquam hoc mihi placet. Scholiastæ explicationem præfero, quam in versione secutus sum, nisi quod εὖ cum eo non accipio pro ἐν καιρῷ, quod maxime reprehendit, et merito quidem, Stephanus; sed pro *plane, aperte*. Quod autem ad vocum trajectionem attinet, in melicis apud nostrum similes aliæ occurrunt, quo vitio, si modo vitium est, haud magis immunis est Stephani expositio, quam Scholiastæ, juxta quam verba sic ordinanda sunt: ἀνδρός τοι ἔστιν εἰπεῖν μὲν εὖ τὸ δίκαιον· εἰπόντος δὲ ἄλλου, ἀνδρός ἐστι μὴ ἐξῶσαι φθονερὰν γλώσσας ὀδύναν. Jam vide utra in expositione voces magis trajiciantur. τὸ δίκαιον bene Scholiastes interpretatur τὸ ἀληθὲς, qua potestate nomen illud frequentissime adhibetur. Heathius Stephani judicium secutus vertit: *Quæ in homine* (id est in Ulysse) *bona sunt æquum est eloqui, et dum eloquar, te non effundere invidiosam linguæ petulantiam.* Ista in Græcis reperiet, si quis me sagacior est. Sane non video,

Digitized by Google

εἰκότος δὲ μὴ φθονερὰν
ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος εἷς ἀπὸ πολλῶν
ταχθεὶς, τοῦδ' ἐφημοσύνᾳ
κοινὰν ἧνυσεν ἐς φίλους ἀρωγάν. 1145

ΦΙ. ὦ πτεραὶ θῆραι, χαροπῶν τ' ἀντιστρ. γ'.
ἐθνη θηρῶν, οὓς ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾷ μ' οὐκ ἔτ' ἀπ' αὐλίων
πελάτ'. οὐ γὰρ ἔχω χεροῖν 1150
τὰν πρόσθεν βελέων ἀλκάν,
ὦ δύστανος ἐγὼ τανῦν.
ἀλλ' ἀνέδην ὅδε χῶρος ἑρύκεται,
οὐκ ἔτι φοβητὸς ὑμῖν.
ἕρπετε, νῦν καλὸν 1155
ἀντίφονον κορέσαι στόμα, πρὸς χάριν

τι καὶ δδυνηρὸν ἐπιφθέγξασθαι. ΕΙΣ ΑΠΟ ΠΟΛΛΩΝ. συμμάχων δηλονότι. ΤΟΤΑ' ΕΦΗΜΟΣΥΝΑΙ. τοῦ Ὀδυσσέως. τὸ ἑξῆς· τοῦδ' ἐφημοσύνᾳ ἧνυσε κοινὰν ἐς φίλους ἀρωγάν.

1146. Ω ΠΤΗΝΑΙ ΘΗΡΑΙ. ἀντὶ τοῦ, ὦ πτηνῶν ἄγραι. ἀγρεύει γὰρ καὶ πτηνά. ΦΥΓΑι Μ' ΟΥΚ ΕΤ' ΑΙΓ ΑΥΛΙΩΝ. ἀντὶ τοῦ, οὐκ ἔτι φεύξεσθέ με, οὐκ ἔτι μετὰ φυγῆς καὶ φόβου προσκελεύσετέ μοι. ΑΛΛ' ΑΝΕΔΗΝ ΟΔΕ ΧΩΡΟΣ. ἀναιμένος καὶ ἡπλωμένος, ἢ ἐκ' ἐξουσίας ὁ τόπος ὑμῖν οὗτος ἀνεῖται. ἀντὶ τοῦ, ἀδείᾳ ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται. ΦΟΒΗΤΟΣ. φόβον ἐμποιῶν. ΣΑΡΚΟΣ ΑΙΟΛΑΣ.

qui indefinito ἀνδρὸς Ulysses designetur, quum proxime sequens κεῖνος de Neoptolemo omnino accipiendum sit. Parisinus editor, qui aliorum placitis ægre acquiescit, sibi non temperavit, quin Heathii explicationi aliquid de suo adderet. Hic itaque genitivum ἀνδρὸς non a τὸ εὖ regi vult, sed a suppressa præpositione περὶ, ut sit: δίκαιόν ἐστιν εἰπεῖν μὲν περὶ ἀνδρὸς τὸ εὖ, dicere de homine quod bonum est.

1143. κεῖνος εἷς. Inserta vulgo inutilis particula δὲ, quam metrum respuit.

1144. τοῦδ' ἐφημοσύνᾳ. Sic Aldus et veteres codd. Pessime Turnebus e Triclinio, a quo tamen parumper discessit, edidit εὐφημοσύνᾳ. At in Triclinii recensione scriptum τοῦδ' εὐφημοσύναν, quod ne quis mala fortuna, aut librarii errore contigisse opinetur, en ipsum Græculi scholion: τοῖ δ' (Ὀδυσσέως) εὐφημοσύνην ἧνυσε, κοινὴν εἰς φίλους ἀρωγήν.

1149. φυγᾷ. Ordo est: οὐκ ἔτι πελᾶτέ μοι φυγῇ ἀπ' αὐλίων ὑμετέρων. Bene scholiastes interpretatur φυγῇ, μετὰ φόβου.

1153. ἑρύκεται. gl. κατέχεται. In T. διὰ τῶν χειρῶν κατέχεται. Has expositiones confirmat Hesychius, apud quem hæ glossæ reperiuntur: ἑρύκειν, κατέχειν. ἕρυξας, κατέσχες. Ab ἑρύω derivatur ἑρύκω propter affinem significationem, docente H. Stephano in Thesauro. Proinde necessitatem non video legendi cum Berolinensi editore ἑρύεται.

1155. Ordo est: ἕρπετε πρὸς χάριν ἐμῆς σαρκὸς αἱόλας. Interposita sunt verba νῦν καλὸν ἀντίφονον κορέσαι στόμα. Sic in Antig. 20. οἰωνοῖς εἰσαρμῶσαι πρὸς χάριν βορᾶς.

Digitized by Google

ἐμᾶς σαρκὸς αἰόλας.
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
πόθεν γὰρ ἔσται βιοτά;
τίς ὧδ' ἐν αὔραις τρέφεται, 1160
μηκέτι, μηκέτι κρατέων μηδενὸς,
ὅσα πέμπει γᾶ βιόδωρος;

ΧΟ. πρὸς θεῶν, εἴ τι σέβῃ ξένον, πέλασσον ἀντιστρ. δ'.
εὐνοίᾳ πάσᾳ, πελάταν.
ἀλλὰ γνῶθ', εὐ γνῶθ', ὅτι σοι 1165
κῆρα τάνδ' ἀποφεύγειν.
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ'

ποικίλης, διὰ τὰ τραύματα. ΤΙΣ ΩΔ' ΕΝ ΑΥΡΑΙΣ. τίς θρέψεται ἐξ ἀνέμων, μηδενὸς τῶν ἐκ γῆς τροφίμων εὐπορῶν. ὑγιῶς δὲ ἔχει, περιττευούσης τῆς ΕΝ προθέσεως.

1161. ΚΡΑΤΥΝΩΝ. ἐγκρατὴς ὤν, εὐπορῶν.

1163. ΕΙ ΤΙ ΣΕΒΗι ΞΕΝΟΝ. ἑαυτὸν δέ φησιν ὁ Χορὸς, ὅτι ἐμοὶ τῷ ξένῳ μετ' εὐνοίας πρόσελθε, ἀντὶ τοῦ, φίλος ἡμῖν γενοῦ. ΑΛΛΑ ΓΝΩΘ'. οὕτω τινὲς στίζουσιν· ἀλλὰ γνῶθ', εὖ γνῶθι. οἷον, τὰ ὄντα σοι μάνθανε, τὰ περὶ τῆς νόσου. ὁ δὲ ΑΛΛΑ ἀντὶ τοῦ δὲ, ἵν' ᾖ οὕτω· πρὸς θεῶν, εἴ τι σέβῃ ξένον πελάταν, πέλασον πάσῃ εὐνοίᾳ. γνῶθι δὲ, ὅτι κῆρα τῆνδ', ὅ ἐστι, τὴν περὶ τὸν πόδα νόσον, ἀποφεύ-

1160. *ἐν αὔραις.* Abundat præpositio, quod scholiastæ observatum. Sed quæ huc pertinent verba in alienum locum translata fuerant, addita nempe scholio ad v. 1169.

1161. In Aldina legitur: *μηκέτι μηδενὸς κρατύνων ὅσα πέμπει βιόδωρος αἶα.* Nec quidquam discrepant codices. Lectio manifesto depravata a librario, qui ad sensum modo attendit, et metra floccifecit. Versus esse debent anapæstici; prior dimeter, alter parœmiacus, quales sunt strophici. Contigit hic, quod alias sæpissime, ut repetenda vox omitteretur *μηκέτι*. E glossemate est *κρατύνων*, quod in versum intrare non potest: nam media longa est. Quid multa? scripserat Tragicus: *Μηκέτι, μηκέτι κρατέων μηδενὸς, Ὅσα πέμπει γᾶ βιόδωρος.* Emendationem hujus loci periclitatus est Heathius, cui conatus cessit infelicissime: *Μηκέτι μηδενὸς κρατύνων ὅσα Πέμπει βιόδωρός γ' αἶα.* Tales versus si quis reperiret alicubi absque auctoris nomine, nedum Athenis in scena cantatos eos fuisse crederet, vix Tzetza aut quopiam hujus farinæ politicorum versuum sartore dignos eos deputaret. Parisinus editor simplicissimam rationem reperit hujus loci persanandi, *legendo γαῖα propter metrum.*

1165. *ἀποφεύγειν.* Triclinius e scholio in textum transtulit *ἀποφυγεῖν*, qua lectione versus pessum datur. Subauditur *πάρεστι.*

1167. *οἰκτρὰ γὰρ βόσκειν.* Id est *ὥστε βόσκειν αὐτὴν*, vel *εἰς τὸ βόσκεσθαι.* Mirum est hic offendisse viros doctos. Vide Suidam in Ἄξιος λαβεῖν ὁ μισθὸς, ubi hanc locutionem exemplis illustrat, inter quæ tanquam ex Tragico nostro duos senarios profert, qui sunt Euripidis in Medea 321. *Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὖτως ἀνὴρ, Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.* Ad quem locum Scholiastes: *ῥᾴων φυλάσσειν. ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι. ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπὶ τὸ πλεῖστον τοῖς Ἀττικοῖς.* Quod sequitur, *ἀδαὴς δ' ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ*, interpretes frustra exercuit. Nimis licenter editor nescio quis Cantabrigiensis *ἔχει* pro *ἔχειν* supposuit, quod futilissimum commentum probat Heathius, unde hunc sensum

Digitized by Google

ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοίκει.

ΦΙ. πάλιν, πάλιν παλαιὸν
ἄλγημ' ὑπέμνασας,
ὦ λῷστε τῶν πρὶν ἐντόπων.
τί μ' ὤλεσας; τί μ' εἴργασαι;

ΧΟ. τί τοῦτ' ἔλεξας;

ΦΙ. εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρωάδα γαῖάν μ' ἤλπισας ἄξειν.

ΧΟ. τόδε γὰρ νοῶ κράτιστον.

ΦΙ. ἀπό νύν με λείπετ' ἤδη.

ΧΟ. φίλα μοι, φίλα ταῦτα παρήγγειλας, ἐπόντι τε πράσσειν.
ἴωμεν, ἴωμεν,
ναὸς ἵν' ἡμῖν τέτακται.

ΦΙ. μὴ, πρὸς ἀραίου

γειν σοι πάρεστιν, εἰ πεισθείης ἡμῖν. οὗτος δὲ ταῦτα λεγόντων συνίησιν, ὅτι παραινοῦσιν αὐτῷ εἰς Ἴλιον ἐλθεῖν· πρὸς ὃ ἀνακράζει τὸ ΠΑΛΙΝ ΠΑΛΙΝ.

1169. ΠΑΛΙΝ ΠΑΛΑΙΟΝ. πάλιν τῶν τῆς Ἰλίου με τόπων ἀνέμνησας, ἢ τῶν οἰκείων κακῶν. Ω ΛΩΙΣΤΕ ΤΩΝ ΠΡΙΝ ΕΝΤΟΠΩΝ. ὦ βέλτιστε τῶν πλησιασάντων μοι πρὶν, ἢ τῶν περὶ τὸν Ὀδυσσέα.

1174. ΕΙ ΣΥ ΤΑΝ ΕΜΟΙ. λείπει ἡ εἰς, ἵν' ᾖ, εἰς τὴν μισουμένην μοι.

1178. ΦΙΛΑ ΜΟΙ ΦΙΛΑ. φίλα μοι βουλομένῳ, ἡδέως ἀποπλεῦσαι κελεύεις. ΝΑΟΣ ΙΝ' ΗΜΙΝ ΤΕΤΑΚΤΑΙ. ὅπου ἡμῖν ἀφῖκται ἡ ναῦς. ἐπὶ τῆς ναὸς, ἀντὶ τοῦ, εἰς τὴν ναῦν.

1182. ΠΡΟΣ ΑΡΑΙΟΥ ΔΙΟΣ. ἀρὰ, ἡ εὐχή. ἀραῖος οὖν, ᾧ πάντες προσευχόμεθα, ἢ ὃν ἐπικαλούμεθα ἀρώμενοι. ὥσπερ δὲ ἱκεσίου λέγουσι, τοῦ τοὺς ἱκέτας ἐποπτεύοντος, οὕτως ἀραίου, τοῦ τοὺς ἀρωμένους ἐπισκοποῦντος. ΕΛΘΗΙΣ. ἀντὶ τοῦ ἀπέλθῃς.

extudit: *misere enim alitur morbus: stultus vero mille habet ærumnas quibuscum habitat.* Sed hoc leve est præ Berolinensis editoris conjectura, qui sic totum locum constituit: *οἰκτρὰ γὰρ βόσκων, ἀδαὴς δέχῃ μυρίον ἄχθος, ᾧ ξυνοίκει.* et vertit: *sed morbum alens excipis innumeros dolores, quibuscum habita, si ita tibi videtur.* Malum, quod in ista versione vocis ἀδαὴς nullam rationem habuit! ἀδαὴς et οἰκτρὰ referuntur ad κῆρα τάνδ', quod nomen inde repetendum: *οἰκτρὰ γάρ ἐστιν (ἡ κὴρ) ὥστε βόσκειν αὐτὴν, ἀδαὴς δέ ἐστιν, ἥτινα οὐ δύναται δαῆναι, ἔχειν, ἃ ἐστιν ὑπέχειν, ὑπομένειν, μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.* Horatius dixit *indocilis pauperiem pati*, ut Tragicus noster ἀδαὴς ἔχειν ἄχθος. A sensu non aberravit Parisinus editor: verum quod censet, minime necessarium est pro δ' ἔχειν legere δὲ σχεῖν. Metrum absque ea mutatione sartum tectum est. Antithetici versus sunt antispastici trimetri catalectici.

1181. *ναὸς* a suppressa præpositione ἐπὶ regi censet Scholiastes, et sic glossa exponit, *ἴωμεν ἐπὶ τῆς ναὸς, ὅπου ἡμῖν τέτακται.* Nec rejicienda hæc explicatio, quam in versione secutus sum. Vide supra ad v. 206. Possit tamen ab ἵνα genitivus *ναὸς* pendere: *ἴωμεν ἵνα τῆς ναὸς ἡμῖν τέτακται.*

Digitized by Google

Διὸς, ἔλθῃς, ἱκετεύω.
ΧΟ. μετρίαζ'.
ΦΙ. ὦ ξένοι,
μαίνασθε, πρὸς θεῶν.
ΧΟ. τί θροεῖς; 1185
ΦΙ. αἲ αἲ αἲ αἲ· δαίμων, δαίμων.
ἀπόλωλ', ὦ τάλας.
ὦ ποὺς, ποὺς, τί σ' ἔτ' ἐν βίῳ
τεύξω τὸ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις. 1190
ΧΟ. τί ῥέξοντες ἀλλοπότῳ γνώμᾳ
τῶν πάρος, ὃν προὐφάνης—
ΦΙ. οὔ τοι νεμεσητὸν ἀλύοντα
χειμερίῳ λύπᾳ,
καὶ παρὰ νοῦν θροεῖν. 1195
ΧΟ. βᾶθί νυν, ὦ τάλαν, ὡς σε κελεύομεν.
ΦΙ. οὐδέποτ', οὐδέποτ', ἴσθι τόδ' ἔμπεδον,
οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς
βροντᾶς αὐγαῖς μ' εἴσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ 1200
πάντες, ὅσοι τόδ' ἔτλασαν ἐμοῦ τοδὸς

1184. ΜΕΤΡΙΑΖΕ. ἡσύχαζε.
1189. ΤΟ ΜΕΤΟΠΙΝ. μετὰ ταῦτα, μετόπισθεν. ΕΠΗΛΥΔΕΣ. αὐτόματοι.
1191. ΤΙ ΡΕΞΟΝΤΕΣ. τί πράξοντες ἐναντίᾳ γνώμῃ ἕτερον παρὰ τὸ πρότερον.
1194. ΧΕΙΜΕΡΙΩι ΛΥΠΑι. ταραχώδει πάθει. μεταφορικῶς. οὐκ ἔστι, φησὶ, μεμπτὸν τῷ δυστυχοῦντι καὶ παραφθέγγεσθαι.
1197. ΙΣΘΙ ΤΟΔ' ΕΜΠΕΔΟΝ. τοῦτο γίγνωσκε ὅτι οὐκ ἔρχομαι, οὐδ' εἰ αὐτὸς ὁ Ζεὺς μετέλθοι με ταῖς βρονταῖς, τοντέστιν, οὐδ' εἰ κεραυνοῖ με ὁ Ζεὺς, ἂν μὴ ἔλθω. γράφεται καὶ ΑΤΤΑΙΣ, ταῖς βροντῶν αὐγαῖς ταῖς κεραυνίαις. ἔστι μὲν λαβεῖν καὶ βροντᾶς, ἀντὶ τοῦ βροντήσας, καθάπερ ἐν Τροφόροις τὸν Διόνυσον εἶπε Βακχᾶν, ἀντὶ τοῦ Βακχευτάν.

1192. ὃν προὐφάνης— Libri omnes ὃν προὔφανες, absque ullo sensu. Chori sermonem abrumpit Philocteta, quid ille dicere velit præsentiens: ὃν πρὸ τοῦ ἐφάνης ἐντρεπόμενος μηδέν.
1199. βροντᾶς αὐγαῖς. Codd. βροντᾶις αὐταῖς, quod inepte depravatum ex veteri lectione Scholiastæ memorata, βροντᾶς αὐγαῖς. Confunduntur perquam frequenter in codd. Γ et Τ. Maxime in his ipsis vocibus, cujus rei exempla vide in notis ad Plutarchi Romulum p. 76. ubi Heraclitidictum de anima exponitur, αὐγὴ γὰρ ξηρὴ, ψυχὴ ἀρίστη. Postquam αὐγαῖς in αὐταῖς mutatum fuit, oportuit ex βροντᾶς facere βρονταῖς. Judicium Heathii laudo, cui codicum lectio magis placet: mihi insulsa videtur præ altera, quam Valckenarii sagacitati debemus.

Digitized by Google

ἄρθρον ἀπῶσαι. ἀλλ', ὦ ξεῖναι,
ἴν γ' ἐμοὶ, ἴν γ' ἐμοὶ εὔχος ὀρίξατε.
ΧΟ. ποῖαν ἐρεῖς τόδ' ἔπος;
ΦΙ. ξίφος, εἴ ποθεν,
ἢ γέννυ, ἢ βελέων τι προπέμψατε.
ΧΟ. ὡς τίνα ῥέξῃς
παλάμαν ποτε;
ΦΙ. κρᾶτ' ἀπὸ πάντα *τ'
† ἄρθρα τέμων χερί.
φονᾷ, φονᾷ νόος ἤδη.
ΧΟ. τί ποτε;
ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς;
ΦΙ. ἐς Ἅιδου.
οὐ γάρ ἐστ' ἐν φάει γ' ἔτι.
ὦ πόλις, ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνὴρ,
ὅς γε σὰν λιπὼν ἱερὰν
λιβάδ', ἐχθροῖς ἅβαν Δαναοῖς
ἀρωγὸς, εἴτ' οὐδέν εἰμι.
ΧΟ. Ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ

* τ' deest ed. 1. 2. † κἄρθρα ed. 1. 2.

1205. ΓΕΝΤΝ. ἀντὶ τοῦ πέλεκυν, ἢ γενῦδα, ἢ ἀξίνην.
1207. ΠΑΛΑΜΑΝ. πρᾶξιν, ὅθεν καὶ παλαμᾶσθαι· ἢ τέχνην.
1209. ΦΟΝΑι. θανατιᾷ, θανάτου ἐπιθυμεῖ.
1215. ΟΣ ΓΕ ΣΑΝ ΛΙΠΩΝ. ὅστις ποτὲ καταλιπών σε ἐπὶ τῷ βοηθεῖν τοῖς Ἕλλησιν, οὐκ ἔτι οὐδὲν εἰμί. ΙΕΡΑΝ ΛΙΒΑΔΑ. τὴν τοῦ ἐπιχωρίου ποταμοῦ.
1218. ΕΓΩ ΜΕΝ ΗΔΗ. ἐντεῦθεν διπλοῦν ἐστι τὸ ἐπισόβιον. ΣΤΕΙΧΩΝ ΑΝ ΗΝ. ἐπορευόμην ἄν. τὸ δὲ ΧΟΙ παρέλκει.

1202. In Aldina et in veteribus codd. legitur: ἄρθρον ἀπῶσαι. ἀλλ' ὦ ξένοι ἔν γέ μοι εὔχος ὀρέξατε. Non sunt tanen anapæstici isti versus, ut esse debent: eis nec Triclinii, nec Heathii medicina sanitatem restituit. ξένοι mutandum in ξεῖνοι, quæ formæ passim a librariis confusæ: tum ad mendarum illud genus *tam late patens* attendendum, de quo vide notam ad Œd. T. 1006. cujusque modo exemplum insigne dedi in v. 1161. Hic iterum omissæ fuerunt, quæ repeti debebant voces: vide jam quam[1] belle, quam vivide decurrant anapæsti et sententia: Ἄρθρον ἀπῶσαι. ἀλλ', ὦ ξεῖνοι, Ἔν γ' ἐμοὶ, ἔν γ' ἐμοὶ εὔχος ὀρέξατε.

1209. νόος. Perperam Aldus et membr. νόσος.

1217. εἴτ' οὐδέν εἰμι. Sic vere Heathius pro mendosa librorum lectione ἔτ' οὐδέν.

1218. ὁμοῦ, ἐγγύς. Vide ad Antig. 1186.

Digitized by Google

στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα, τόν τ' Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
ΟΔ. οὐκ ἂν φράσειας ἥντιν' αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
ΝΕ. λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔ. δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;
ΝΕ. ἦν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ—
ΟΔ. ἔπραξας ἔργον ποῖον, ὧν οὔ σοι πρέπον;
ΝΕ. ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔ. τὸν ποῖον; ὦ μοι· μῶν τι βουλεύῃ νέον;
ΝΕ. νέον μὲν οὐδέν· τῷ δὲ Ποίαντος τόκῳ—
ΟΔ. τί χρῆμα δράσεις; ὡς μ' ὑπῆλθέ τις φόβος.
ΝΕ. παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν—
ΟΔ. ὦ Ζεῦ, τί λέξεις; οὔ τι που δοῦναι νοεῖς;
ΝΕ. αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔ. πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
ΝΕ. εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
ΟΔ. τί φῄς, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;
ΝΕ. δὶς ταυτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;
ΟΔ. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
ΝΕ. εὖ νῦν ἐπίστω, πάντ' ἀκήκοας λόγον.
ΟΔ. ἔστιν τις, ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν.
ΝΕ. τί φῄς; τίς ἔσται μ' ὑπερκωλύσων τάδε;
ΟΔ. ξύμπας Ἀχαιῶν λαός· ἐν δὲ τοῖσδ' ἐγώ.

1222. ΗΝΤΙΝΑ ΚΕΛΕΥΘΟΝ ΕΡΠΕΙΣ. ἀντὶ τοῦ, εἰς ποῖον τόπον ἀπέρχῃ. ΠΑΛΙΝΤΡΟΠΟΣ. ἐξ ὑποστροφῆς. τοῦτο δὲ ὁ Νεοπτόλεμος, ἀποδοῦναι βουλόμενος τὰ τόξα τῷ Φιλοκτήτῃ, ἐπικλήσεται ὑπὸ τοῦ Ὀδυσσέως.
1238. ΑΝΑΠΟΛΕΙΝ Μ' ΕΠΗ. τὰ αὐτὰ λέγειν. ἀπὸ τῶν δεύτερον πολούντων τὴν ἠροτριασμένην γῆν.

1229. τὸν ποῖον. Sic etiam scriptum est in Triclinii recensione. In Turnebi editione operarum incuria, ut videtur, excusum fuit τὸ ποῖον, quæ menda per subsequentes omnes propagata fuit.
1235. κερτομῶν, χλευάζων. Theocritus in Thyrside 62. κοὔτι τυ κερτομέω.
1236. τἀληθῆ λέγειν. Id est τὸ ἀληθῆ λέγειν. Vide supra ad v. 108.
1239. ἀρχὴν hic et aliis omnibus in locis, ubi comitem habet particulam negantem, valet *omnino*. De hac loquendi forma erudite disseruit Lennepius ad Phalaridis Epist. xvi. Sic Ant. 92. ἀρχὴν οὐ πρέπει, *omnino non decet*. Vide etiam El. 439.

Digitized by Google

ΝΕ. σοφὸς πεφυκὼς, οὐδὲν ἐξαυδᾷς σοφόν.
ΟΔ. σὺ δ' οὔτε φωνεῖς, οὔτε δρασείεις σοφά. 1245
ΝΕ. ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
ΟΔ. καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα;
ΝΕ. τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν, ἀναλαβεῖν πειράσομαι.
ΟΔ. στρατὸν δ' Ἀχαιῶν οὐ φοβῇ, πράσσων τάδε; 1250
ΝΕ. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
ΟΔ. οὔτ' ἄρα Τρωσὶν, ἀλλά σοι μαχούμεθα.
ΝΕ. ἔστω τὸ μέλλον.
ΟΔ. χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν;
ΝΕ. ἀλλὰ κἀμέ τοι 1255
ταυτὸν τόδ' ὄψει δρῶντα, κοὐ μέλλοντ' ἔτι.
ΟΔ. καί τοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ' ἐλθὼν, ὅς σε τιμωρήσεται.
ΝΕ. ἐσωφρόνησας· κἂν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα. 1260
σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,
ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙ. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι, ξένοι;
ὤ μοι· κακὸν τὸ χρῆμα. μῶν τί μοι μέγα 1265

1252. ΑΛΛ' ΟΥΔΕ ΤΟΙ. ἀλλ' οὐδὲ πεισθήσομαι τῇ σῇ χειρὶ, ἥγουν τῇ δυνάμει, ταῦτα ποιεῖν.
1262. ΑΜΕΙΨΑΣ. καταλιπών.

1245. *δρασείεις σοφά.* Sic legendum. σοφὸν e præcedente versu repetitum manifestus est librarii error. In B. ἠβουλόμην, quod Atticum quidem, sed Tragicis non frequentatum.

1251. *τὸν σὸν φόβον, terrorem quem tu mihi vis incutere: tuas minas.* Vide notata ad Antig. 597. Male Johnsonus vertit, *nihil metuo, quod tu.*

1252. ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν. Vulgo male hæc accipiuntur: sensum explanat scholion in Reg. membr. ἀλλ' οὐδὲ πεισθήσομαι ποιεῖν ταῦτα τῇ σῇ χειρί. ὅ ἐστιν, οὐκ ἐπιτρέψω σοι. *Facere tua manu*, tantumdem est ac *permittere ut facias.* πείθομαι τὸ δρᾶν eadem ratione dictum ac paulo ante σε κωλύσει τὸ δρᾶν. Neutro in loco subaudiendum κατά. In B. perperam hic versus Ulyssi tributus est.

1264. τοῦ κεχρημένοι. Mendose in membr. et in Aldina κεχρημένου.

Digitized by Google

τάρεστε πρὸς ταπῖσι πέμποντες κακόν;
ΝΕ. θάρσει· λόγους δ' ἄκουσον, οὓς ἥκω φέρων.
ΦΙ. δίδοικ' ἔγωγε. καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
ΝΕ. οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν; 1270
ΦΙ. τοιοῦτος ἦσθα τοῖς λόγοισι, χὥτ' ἐμοῦ
τὰ τόξ' ἔκλεπτες, πιστὸς, ἀτηρὸς λάθρα.
ΝΕ. ἀλλ' οὔ τι μὴ νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν.
ΦΙ. παῦε, μὴ λέξῃς πέρα. 1275
μάτην γὰρ, ἃ "ν εἴπῃς γε, πάντ' εἰρήσεται.
ΝΕ. οὕτω δέδοκται;
ΦΙ. καὶ πέρα γ' ἴσθ' ἢ λέγω.
ΝΕ. ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι.
ΦΙ. πάντα γὰρ φράσεις μάτην. 1280
οὐ γάρ ποτ' εὖνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρησας, κἄτα νουθετεῖς ἐμὲ
ἐλθὼν, ἀρίστου πατρὸς ἔχθιστος γεγώς.
ὅλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ 1285
ὁ Λαέρτου παῖς, καὶ σύ.
ΝΕ. μὴ 'πεύξῃ πέρα·

1272. ΠΙΣΤΟΣ, ΑΤΗΡΟΣ ΛΑΘΡΑ. *πιστὸς ἐν τοῖς ἔξω λόγοις· κλέπτης δὲ ἐν τοῖς εἴσω.* ΑΤΗΡΟΣ. *βλαβερός. παρὰ τὴν ἄτην.*
1273. ΑΛΛ' ΟΥ ΤΙ ΜΗ ΝΥΝ. *δῆλος φανοῦμαι δηλονότι.*
1275. ΜΗ ΛΕΞΗΙΣ ΠΕΡΑ. *μὴ περαιτέρω εἴπῃς. ὅσα γὰρ ἂν εἴπῃς, μάταια λέξεις.*

[1273. ἀλλ' *οὔ τι μὴ νῦν.* Subaudi *ἔσομαι*, quæ rarior ellipsis in usu particularum *οὐ μή*. *Schæf.*]

1275. *παῦε, desine.* Perperam Aldus, metro reclamante, *παῦσαι*, quod ex interlineari glossa ortum. Atticum est *παῦε*, pro *παῦσαι*. Vide quæ notavimus ad Comici Ranas 269. Euripidem Ione 534.

1284. *ἔχθιστος.* Sic libri omnes. Non satis causæ video, cur Piersonus ad Mœridem p. 185. suspectam habuerit hanc lectionem, cujus in locum sufficit *αἴσχιστος*. Verum est quidem hæc nomina commutari, cujus rei exemplum est in Aj. 1059. [*αἴσχιστος*. V. Porson. ad Euripid. Phœnissas, v. 594. *Schæf.*]

Digitized by Google

δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙ. πῶς εἶπας; οὐκ ἄρα δεύτερον δολούμεθα;
ΝΕ. ἀπώμοσ' ἀγνοῦ Ζηνὸς ὕψιστον σέβας.
ΦΙ. ὦ φίλτατ' εἰπὼν, εἰ λέγεις ἐτήτυμα.
ΝΕ. τοὔργον παρέσται φανερόν. ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔ. ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,
ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.
ΦΙ. τέκνον, τίνος φώνημα; μῶν Ὀδυσσέως
ἐπησθόμην;
ΟΔ. σάφ' ἴσθι· καὶ πέλας γ' ὁρᾷς,
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ,
ἐάν τ' Ἀχιλλέως παῖς, ἐάν τε μὴ θέλῃ.
ΦΙ. ἀλλ' οὔ τι χαίρων, ἦν τόδ' ὀρθωθῇ βέλος.
ΝΕ. ἆ ἆ, μηδαμῶς. μὴ, πρὸς θεῶν, μεθῇς βέλος.
ΦΙ. μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.
ΝΕ. οὐκ ἂν μεθείην.
ΦΙ. φεῦ· τί μ' ἄνδρα πολέμιον
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
ΝΕ. ἀλλ' οὔτ' ἐμοὶ καλὸν τόδ' ἐστὶν, οὔτε σοί.

1288. ΔΟΛΟΥΜΕΘΑ. ἀπατώμεθα.
1293. ΩΣ ΘΕΟΙ ΞΥΝΙΣΤΟΡΕΣ. μαρτύρομαι τοὺς θεοὺς, ὅτι ὃ ποιῶ, εἰς χάριν καὶ σωτηρίαν ποιῶ τῶν Ἀτρειδῶν.
1298. ΕΑΝ Τ' ΑΧΙΛΛΕΩΣ ΠΑΙΣ. θέλῃ δηλονότι. οὐκ εἶπε δὲ τὸ θέλῃ, ἵνα μὴ δόξῃ συμψηφίσασθαι αὐτοῦ τῷ βουλεύματι.

[1288. Conf. Porson. Præfat. ad Euripid. Hecub. p. xii. ed. Lips. alter. *Schæf.*]

[1289. Sic citat hunc versum præstantissimus Criticus ad Euripid. Med. v. 750. Brunckius cum prioribus: ἀπώμοσ' ἀγνοῦ Ζηνὸς ὕψιστον σέβας. Ceterum proprie dicitur ἀπώμοσα, cum Neoptolemus neget, se δολοῦν Philocteten. *Schæf.*]

1300. ἆ ἆ, μηδαμῶς. Sic scriptum oportuit. In accentu peccavit Aldus ἆ ἄ. Hesychius: ἀ ἄ. σχετλιαστικὸν ἐπιφώνημα.

1301. μέθες με χεῖρα. Schema, quod vocant καθ' ὅλον καὶ μέρος. Vide ad Œd. T. 717.

1302. οὐκ ἂν μεθείην. In B. μεθείμην. Proclivis in harum formarum permutatione lapsus. Vide Marklandum ad Enripidis Iphig. A. 310. ubi, ut et hic, nihil interest utro modo legatur, quod ostendimus ad Com. Vespas 416.

[1303. ἀφείλου μὴ κτανεῖν. V. quæ notavi ad L. Bos. Ellips. p. 555. et ad Dionys. Halic. de Compos. Verb. p. 141. *Schæf.*]

1304. ἀλλ' οὔτ' ἐμοὶ καλὸν τόδ' ἐστὶν, οὔτε σοί. Nisi quis cucurbitas lippiat, videat necesse est sic poëtam scripsisse. Codicum, quos vidi, omnium lectionem Aldus exhibuit, καλὸν τοῦτ' ἐστίν. Voculas τόδ' et τοῦτ' sæpissime confuderunt librarii, unde hic

Digitized by Google

ΦΙ. ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν, ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕ. εἶεν. τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
ΦΙ. ξύμφημι. τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες· οὐχὶ Σισύφου πατρὸς,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ', ὅτ' ἦν,
ἤκουε ἄριστα, νῦν τε τῶν τεθνηκότων.
ΝΕ. ἥσθην πατέρα τε τὸν ἐμὸν εὐλογοῦντά σε,
αὐτόν τ' ἐμέ· ὧν δέ σου τυχεῖν ἐφίεμαι,
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν, οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχῃ·
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,

1306. ΨΕΥΔΟΚΗΡΥΚΑΣ. ἀντὶ τοῦ ψευδοπρεσβευτάς· ἢ ψευδῶς κηρυσσομένους καὶ ἐγκωμαζομένους. φησὶ γοῦν· οὐ γενναῖον ἄνδρα φονεύσω. πάντες γὰρ οἱ κήρυκες τῶν Ἑλλήνων ἀσθενεῖς εἰσι, καὶ ἡ ἀνδρεία αὐτῶν ἄχρι τοῦ λέγειν ἐστίν.

1316. ΑΝΘΡΩΠΟΙΣΙ ΤΑΣ ΜΕΝ ΕΚ ΘΕΩΝ. πᾶς ἄνθρωπος ἐκ θεοῦ πάσχων, ἀνέγκλητός ἐστιν· ὅσοι δὲ διὰ τὴν ἰδίαν προαίρεσιν νοσοῦσιν, ὥσπερ σὺ, οὐδὲ ἐλέους ἄξιοι τυγχάνουσι.

1325. ΓΡΑΦΟΥ ΦΡΕΝΩΝ ΕΣΩ. παρὰ τὸ Ὁμηρικόν· (Ἰλ. α'. 297.) σὺ δ' ἐν φρεσὶ βάλλεο σῇσιν. ΣΥ ΓΑΡ ΝΟΣΕΙΣ. σὺ γὰρ, ὦ Φιλοκτῆτα, νοσεῖς ἐκ θείας προνοίας, πλησίον ἐπελθὼν τοῦ ἄφεως, τοῦ φυλάττοντος τὸ ἱερὸν τῆς Ἀθηνᾶς· καὶ οὐκ ἔστι σοι ἴασις, εἰ μὴ ὑπὸ τῶν Ἀσκληπιαδῶν.

versus turpiter claudicabat. Crurifragio eum non exemit infelix Turnebi conjectura, ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἔστι καλὸν, οὔτε σοι. Pro spondeo in quarto pede substituit pyrrhichium, ignorans scilicet nominis καλὸν priorem ab Atticis poëtis semper corripi.

1314. ἥσθην σε εὐλογοῦντα. Supple ἀκούων. Vide ad Aj. 790. In Triclinii recensione scriptum ἥσθην πατέρα τὸν ἐμὸν εὐλογοῦντά σε. In B. πατέρα τὸν ἐμὸν, ut citat Eustathius p. 737. claudicante versu. Haud displicet Triclinii lectio.

[1321. Commate post δέχει posito, apparet, scripturam vulgatam optime habere. *Schaf.*]

Digitized by Google

Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐντυχεῖν
νόσου βαρείας, ἕς τ' ἂν οὗτος ἥλιος
ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἐπὼν αὐτὸς μόλῃς,
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν,

1331. ΤΑΥΤΗι ΜΕΝ ΑΙΡΗι. *ταύτῃ μὲν ἀνατέλλῃ, ταύτῃ δὲ δύνῃ· ὅ ἐστι, διὰ παντός.*

1330. *ἕς τ' ἂν οὗτος ἥλιος.* Libri omnes *ὡς ἂν αὐτὸς ἥλιος*, manifesta menda. *ὡς ἂν* nihil aliud significare potest quam *ut:* sensus autem hic flagitat *ἕως ἂν, ἕς τ' ἂν, dum, donec, quamdiu.* Præterea *αὐτὸς ipse* inficetum est. Scaligeri conjectura *ἕως ἂν ὁὐτὸς ἥλιος*, nauci non est: hoc est mendam menda commutare. *ἕως* semper est disyllabum; proinde versum intrare non potest. Tum quid sibi vult *ὡὐτὸς ἥλιος, idem sol?* Num sol mutatur? Legendum, ut jamdudum monuimus ad Euripidis Phœnissas 89. *ἕς τ' ἂν οὗτος ἥλιος.* In aprico stabant ante Philoctetæ antrum, et solem ostendens hoc dicit Neoptolemus, *hic sol, quem adspicis.* Sic in Ajace Teucer v. 1389. cœlum ostendens ait: *τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατήρ— τοῦδε, δεικτικῶς*, ut hic *οὗτος ἥλιος.* Plautus Bacchid. iv. 4. 48. *Si tu* ILLUM SOLEM *sibi solem esse dixeris*— ad quem locum ita Salmasius: ILLUM SOLEM, *δεικτικῶς. Hæc loquens manus ad solem histrio tollebat. Hoc* absolute optimis Latinis scriptoribus sæpe *cœlum* significat *δεικτικῶς.* Comicus in Circulione i. 3. 26. *Nam* hoc *quidem edepol haud multo post luce lucebit.* et in Amph. i. 3. 45. *Luciscit* hoc *jam.* Mirifice confirmatur hæc emendatio Aristidis responso ad Mardonii legatos, quod sic refert Plutarchus: *τοῖς δὲ παρὰ Μαρδονίου τὸν ἥλιον δείξας, Ἄχρις ἂν ΟΥΤΟΣ, ἔφη, ταύτην πορεύηται τὴν πορείαν, Ἀθηναῖοι πολεμήσουσι Πέρσαις.* Herodotus vero haud minus apposite nostræ lectioni: *τῶν δὲ ἀπάγγελλε Μαρδονίῳ ὡς Ἀθηναῖοι λέγουσι, ΕΣ Τ' ΑΝ ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ᾖ τῇπερ καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας Ξέρξῃ. ὡς ἂν* pro *ἕως ἂν* nullus scriptor Atticus adhibuit. Unicum affertur exemplum e Thucydidis loco, qui male acceptus fuerat l. viii. cap. 1. ad quem vide Dukeri notam p. 507. Auctor Doctrinæ particularum p. 1204. tradit simplex *ὡς* temporis durationem indicare posse et reddi per *dum.* Exempla e libris sacris, quibus sanctiores non doctiores fimus, non attingo: verum ubi Plato ait, *ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν.* Ibi *ὡς* valet non *quamdiu*, sed *quum*, quæ frequentissima est significatio. Magis idoneum exemplum subministrare poterat Anacreon, qui in Od. iv. canit: *ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ, μύρισον. Dum adhuc vivo, quando adhuc vivo.* et xv. *ὡς οὖν ἔτ' εὐδεῖ ἐστί.* Sed scriptor Ionicus Anacreon sermonis Attici norma non est.

1333. *Ἀσκληπιδῶν.* Sic Aldus et membr. in quibus tamen scriptum a prima manu fuisse videtur *Ἀσκληπιαδῶν*, ut est in aliis libris; sed litera prorsus erasa, quæ fuit inter *ι* et *δ*, ut discerni non possit, quænam ea fuerit. Toupius ad Suidam i. 130. a poëta scriptum fuisse contendit *Ἀσκληπιῶν*, tanquam si Æsculapii filios *Ἀσκληπιοὺς, medicos*, appellasset: quod ipse sibi habeat. Sane equidem Aldi lectionem præfero. Observo simili errore apud Pindarum Pyth. v. 37. scriptum fuisse in plurimis libris *Βαττιαδᾶν*, ubi, metro flagitante, debuit esse *Βαττιδᾶν*, quod nunc legitur: tametsi horum patronymicorum diversa ratio est. Nam a *Βάττος* regulare est *Βαττίδης*, ut ab *Ἀσκληπιὸς, Ἀσκληπιάδης.* Sed in his nominibus late patet licentia.

Digitized by Google

νόσου μαλαχθῆς τῆσδε· καὶ τὰ Πέργαμα
ξὺν τοῖσδε τόξοις, ξύν τ' ἐμοὶ πέρσας Φανῆς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ', ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὅς λέγει σαφῶς,
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτὸν, ἢν τάδε ψευσθῇ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
καλὴ γὰρ ἡ πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
ἐς χεῖρας ἐλθεῖν· εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.

ΦΙ. ὦ στυγνὸς αἰὼν, τί μ' ἔτι δῆτ' ἔχεις ἄνω
βλέποντα, κοὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν;
οἵ μοι· τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὅς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς, τάδ' ἕρξας, εἶμι; τῷ προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τοῦ Λαερτίου;

1344. ΚΑΛΗ ΓΑΡ Η 'ΠΙΚΤΗΣΙΣ. ἡ κτῆσις τῆς δόξης. καλὸν κτῆμα ωφεληθῆναί σε κατ' ἀμφότερα, κλέος κτώμενον ἐκ τῆς πορθήσεως τῆς Ἰλίου, καὶ θεραπευόμενον.

1354. ΤΑ ΠΑΝΤ' ΙΔΟΝΤΕΣ ΑΜΦ' ΕΜΟΙ ΚΥΚΛΟΙ. τὰ περὶ ἐμὲ πάθη εἰδότες

1348. τί μ' ἔτι δῆτ'—Sic distingui debuisse voces nemo non animadvertere poterat, quod tamen primus monuit Toupius ad Suidam i. 141. In Aldina, ut in B. τί με τί δῆτ'—In aliis codd. τί με δῆτ' ἔχεις—claudicante versu.

1354. κύκλοι perperam scholiastes accipit, annos exponens, quod ineptum est. Alii cum Camerario non melius Philoctetam suos oculos alloqui censuerunt. Astrorum alloquitur orbes. Hunc locum optime convertit Georgius Ratallerus: *O circuli cælo micantes, qui mala, Quibus miser agitor, videtis omnia, Hæc quomodo vos sustinebitis?* Perperam in membr. et in Aldina ἀμφ' ἐμοῦ.

1357. τοῦ Λαερτίου. Aldus et veteres codd. τῷ. [τῷ Λαερτίου. V. Porson. ad Euripid. Phœniss. v. 145. *Schaef.*]

Digitized by Google

οὐ γάρ με τἄλγος τῶν παρειλθόντων δάκνει.
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι
δοκῶ προλεύσσειν. οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.
καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τάδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν, οἵ γέ σου καθύβρισαν,
πατρὸς γέρας συλῶντες. εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, κἄμ' ἀναγκάζεις τάδε;
μὴ δῆτα, τέκνον· ἀλλ', ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χ' οὕτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν,
διπλῆν δὲ πατρός· κοὐ, κακοὺς ἐπωφελῶν,
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.

NE. λέγεις μὲν εἰκότ'· ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα, τοῖς τ' ἐμοῖς λόγοις,
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.

ἐνιαυτοὶ, τοῦ αἰῶνος χρόνοι. ΟΤ ΓΑΡ ΜΕ ΤΑΛΓΟΣ. *οὐ λυπεῖ με τὰ φθάσαντα, ἀλλὰ διὰ τὰ μέλλοντα δυσφορῶ.* ΟΙΣ ΓΑΡ Η ΓΝΩΜΗ. *οἱ γὰρ ἔχοντες φαύλην τὴν γνώμην, ἀκόλουθα τῷ λογισμῷ διαπράττονται.* ΘΑΥΜΑΣΑΣ ΕΧΩ. *θαυμάζω σου, ἀντὶ τοῦ, καταγιγνώσκω σου.*

1374. ΘΕΟΙΣ ΤΕ ΠΙΣΤΕΥΣΑΝΤΑ. *διὰ τὴν Ἑλένου μαντείαν.*

1362. *θαυμάσας ἔχω τάδε.* In Aldina et veteribus codd. *τόδε*, haud melius.

1364. *οἵ γέ σου καθύβρισαν.* Perperam in libris *οἵ τέ σου.*

1365. *πατρὸς γέρας συλῶντες. εἶτα τοῖσδε σὺ*—Quæ olim ab homine ineptissimo inferta fuerunt, sustuli. Non tanta incogitantia fuit Tragicus noster, ut in dramate omnium quot quot sunt perfectissimo, sibi ipsi tam stolide contradiceret, inutili mentione cujuspiam facti, quod toti fabulæ œconomiæ repugnat, eamque subverteret. Nihil omnino eorum, quæ ad Trojam gesta fuerant, Philoctetes ante illum diem inaudiverat: litem Ulyssis cum Ajace de Achillis armis prorsus ignorabat: quin ipsi supra v. 412. dixerat Neoptolemus Ajacem ante Achillem fato functum fuisse. Præterea color ipse adsuti centonis mangonem prodit. Sophoclem ignorat ejusque stylum, si quis eum ista scribere potuisse opinatur: *Πατρὸς γέρας συλῶντες, οἳ τὸν ἄθλιον Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ Ὀδυσσέως ἔκριναν. εἶτα τοῖσδε σὺ*—[Quæ post *συλῶντες* vulgo sequuntur,

οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν.

Brunckius ut spuria omisit. Genuina si haberi oportet, poëta non potest *ἀσυστασίας* absolvi, siquidem Philoctetes de *armorum Achilleorum judicio* (*ὅπλων δίκῃ*) nihil quidquam inaudivit. *Schæf.*]

1366. *κἄμ'*—Aldus minus bene *καί μ'*—Hic autem habet *τάδε*, ut membr. Contra Triclinius *τόδε.*

Digitized by Google

ΦΙ. ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως 1376
ἔχθιστον υἱὸν, τῷδε δυστήνῳ ποδί;
ΝΕ. πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἄμπυον βάσιν
παύσοντας ἄλγους, κἀποσώσοντας νόσου.
ΦΙ. ὦ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε; 1380
ΝΕ. ἃ σοί τε κἀμοὶ κάλ' ἐσορῶ τελούμενα.
ΦΙ. καὶ ταῦτα λέξας, οὐ ταραισχύνῃ θεούς;
ΝΕ. πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;
ΦΙ. λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τόδε; 1385
ΝΕ. σοί που φίλος γ' ὤν, χὠ λόγος τοιόσδ' ἐμοῦ.
ΦΙ. πῶς, ὅς γε τοῖς * ἐχθροῖσί μ' ἐκδοῦναι θέλεις;
ΝΕ. ὦ 'τὰν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.
ΦΙ. ὀλεῖς με, γιγνώσκω σε, τοῖσδε τοῖς λόγοις.
ΝΕ. οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν. 1390
ΦΙ. ἔγωγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.
ΝΕ. ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ', ὅρα.
ΦΙ. οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
ΝΕ. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἴ σέ γ' ἐν λόγοις

* ἐχθροῖσιν ἐκδοῦναι ed. 1. 2.

1378. ΕΜΠΤΟΝ. δίνγρον, διὰ τὸ ἕλκος, πύου πεπληρωμένην, ὃ ἐστι σήψεως. ὁ δὲ νοῦς· ἀλλ' οὐδὲ πρὸς ἐκείνους ἔπει, ἀλλὰ πρὸς τοὺς θεραπεύοντάς σε.
1387. ΔΙΔΑΣΚΟΥ. μάνθανε, φησὶ, μὴ ἐν τοῖς κακοῖς ἐπαίρεσθαι.

1379. κἀποσώσοντας. Libri omnes male κἀποσώζοντας.

1381. ἃ σοί τε κἀμοὶ κάλ' ἐσορῶ τελούμενα. Libri veteres κάλ' ὁρῶ clandicante versu. In Triclinii recensione pejus adhuc καλῶς ὁρῶ. Dictum fuit supra ad v. 1304. nominis καλὸς priorem Atticis poëtis semper corripi: estque hoc certissimum. Nec minus certum videri debet rectam emendandi viam nos iniisse, omissam a librario præpositionem compositi verbi reponendo. Scripserat Tragicus non ὁρῶ, sed ἐσορῶ. Centies ad minimum in his dramatibus occurrunt ἐσορᾷν, ἐσιδεῖν eadem potestate qua simplicia ὁρᾷν et ἰδεῖν, ut sæpe in glossis declaratur. Vide quæ notavimus ad Comici Concion. 70. Parisini Editoris conjecturam silentio prætereo, ne quis Menedemi dictum in me torqueat, νεκρὸν ἐπωφάρτεις.

1382. Aldus καταισχύνειν, quæ in scriptura vestigium deprehendi possit antiquæ formæ Atticæ καταισχύνει pro καταισχύνῃ.

1384. τόδε. Sic recte in B. quod vel absque codice reponi debebat: nam pronomen hoc jungendum cum ὄφελος. Perperam in aliis libris τάδε.

1385. χὠ λόγος τοιόσδ' ἐμοῦ. Sic membr. et Aldus. In aliis libris ἐμοί.

1388. γιγνώσκω. Sic emendate in membr. scriptum, non ut vulgo, γινώσκω. Vide notam ad Com. Ranas 52. ὀλεῖς Attica futuri forma est pro ὀλέσεις.

1393. Nisi δρῷμεν optativus esset, solœca esset oratio, quia in hac formula subjunctivus adhibetur sine ἄν, et op-

Digitized by Google

πείσειν δυνησόμεσθα μηδὲν, ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν, ὥσπερ ἤδη ζῆς, ἄνευ σωτηρίας.
ΦΙ. ἔα με πάσχειν ταῦθ', ἅπερ παθεῖν με δεῖ·
ἃ δ' ἤνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμπειν πρὸς οἴκους, ταῦτ' ἐμοὶ πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε, μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας. ἄλις γάρ μοι τεθρήνηται γόοις.
ΝΕ. εἰ δοκεῖ, στείχωμεν.
ΦΙ. ὦ γενναῖον εἰρηκὼς ἔπος.
ΝΕ. ἀντέρειδέ νυν βάσιν σήν.
ΦΙ. εἰς ὅσον γ' ἐγὼ σθένω.
ΝΕ. αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι;
ΦΙ. μὴ φροντίσῃς.
ΝΕ. τί γὰρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν;
ΦΙ. ἐγὼ παρὼν—
ΝΕ. τίνα πρὸς ὠφέλησιν ἕρξεις;
ΦΙ. βέλεσι τοῖς Ἡρακλέους—
ΝΕ. πῶς λέγεις;
ΦΙ. εἴρξω πελάζειν σῆς πάτρας.
ΝΕ. ἀλλ', ὦ φίλε,

1401. ΤΕΘΡΗΝΗΤΑΙ ΛΟΓΟΙΣ. γράφεται ΓΟΟΙΣ. πολλὰ διὰ Τροίαν πέπονθα, φησίν.
1402. ΣΤΕΙΧΩΜΕΝ. ἐπὶ τὴν πατρίδα. ἀπατᾷ δὲ, καὶ θέλει ἄξαι εἰς τὴν Τροίαν.
1404. ΑΙΤΙΑΝ ΔΕ ΠΩΣ. πῶς, φησὶν, ἀναίτιος γένωμαι τοῖς Ἕλλησι; ΧΩΡΑΝ ΤΗΝ ΕΜΗΝ. τὴν Σκῦρον.

tativus cum ἄν. Perinde soloeca essent τί ἂν δρῶ, et τί δρῴην, quum rite dicatur τί δρῶ, et τί δρῴην ἄν. In Aldina excusum δρῶμεν, quia in veteribus libris ι, quod subscribere solemus, fere omittitur.

[1394. πείσειν δυνησόμεσθα. Δύναμαι cum infinitivo futuri recte jungi negat Thomas Mag. p. 161. quem hic locus refellit. Conf. quæ de verbo εὔχομαι monui ad Œd. Reg. v. 272. *Schæf.*]

1401. γόοις meliorum librorum est lectio, cujus ex depravatione orta altera Scholiastæ memorata, λόγοις. Hanc habet Triclinii recensio, altera superscripta.

1406. In B. προσωφέλησιν scriptum una voce. [προσωφέλησιν. Sic Wakefieldius, ut etiam Codex habet. Vulgo diremtis vocibus πρὸς ὠφέλησιν. Conf. Euripid. Heracl. v. 520. Barn. *Schæf.*]

1407. Voces ὦ φίλε in Aldina et in codd. non comparentes, ex conjectura addidi, ut integer fieret octonarius, quod quidem longe præstare videtur Triclinii, seu potius Turnebi interpo-

Digitized by Google

εἴ γε δρᾷς ταῦθ', ὥσπερ αὐδᾷς, στεῖχε προσκύσας
χθόνα.

ΗΡΑΚΛΗΣ.

μήπω γε, πρὶν ἂν τῶν ἡμετέρων
ἀΐῃς μύθων, παῖ Ποίαντος·
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν, λεύσσειν τ' ὄψιν.
τὴν σὴν δ' ἥκω χάριν, οὐρανίας
ἕδρας προλιπών,
τὰ Διός τε φράσων βουλεύματά σοι,
καταρρυτύσων θ' ὁδὸν, ἣν στέλλῃ·
σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.
καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους,
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾶν.
καὶ σοί, σάφ' ἴσθι, τοῦτ' ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.
ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
πόλισμα, πρῶτον μὲν νόσου παύσει λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκπριθεὶς στρατεύματος,
Πάριν μὲν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' ἐς μέλαθρα σὰ
πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκας.

1411. ΦΑΣΚΕΙΝ Δ' ΑΥΔΗΝ. *ὑπολάμβανε, φησὶν, ὁρᾶν τὸν Ἡρακλέα, καὶ ἀκούειν τῆς φωνῆς αὐτοῦ.*

lationi: nam in illius recensione sic scripti sunt hi versus: Πῶς λέγεις; εἶρξεν πελάζειν τουτουσὶ τῆς σῆς πάτρας. Ἀλλ' εἰ δρᾷς ταῦθ' ὥσπερ αὐδᾷς, στεῖχε προσκύσας χθόνα. In secundo nihil differunt veteres codd. nec Aldus. Particulam γε, metro flagitante, jam inseruerat Turnebus.

[1411. φάσκειν. V. ad Electr. v. 9. *Schaef.*]

1415. τὰ Διός τε φράσων. Sic recte tres codd. Absque iis reponi poterat copula quam impressi omittunt cum versus ruina.

1429. ἐκλαβών. In tribus codd. at in Aldina, ex frequentissimo librariorum errore, ἐκβαλών.

1430. πλάκας. Sic membr. In ceteris πλάκα.

Digitized by Google

ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ,
τόξων ἐμῶν μνημεῖα, πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ', Ἀχιλλέως τέκνον,
παρήνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον, οὔθ' οὗτος σέθεν. 1435
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον,
οὗτος σέ, καὶ σὺ τόνδ'. ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. τοῦτο δ' ἐννοεῖσθ', ὅταν 1440
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
ὡς τἄλλ' ἅπαντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς. οὐ γὰρ ἡ εὐσέβεια συνθνήσκει βροτοῖς·
κἂν ζῶσι, κἂν θάνωσιν, οὐκ ἀπόλλυται.

ΦΙ. ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας, 1445
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.

ΝΕ. κἀγὼ γνώμῃ ταύτῃ τίθεμαι.

ΗΡ. μή νυν χρόνιοι μέλλετε πράσσειν.
καιρὸς καὶ πλοῦς 1450
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.

ΦΙ. φέρε νυν στείχων, χώραν καλέσω.
χαῖρ', ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,

1432. ΤΟΞΩΝ ΕΜΩΝ ΜΝΗΜΕΙΑ. *ἀντὶ τοῦ, ἐκ τῶν ἀριστείων κἀμὲ τίμησον.* ΠΡΟΣ ΠΥΡΑΝ ΕΜΗΝ. *τὴν ἐπὶ τῇ Οἴτῃ.*

1441. ΕΥΣΕΒΕΙΝ ΤΑ ΠΡΟΣ ΘΕΟΥΣ. *αἰνίττεται τοῦτο εἰς Νεοπτόλεμον. ἐν γὰρ τῇ τοῦ Ἰλίου ἁλώσει ἀπέκτεινε τὸν Πρίαμον, προσφυγόντα τῷ βωμῷ τοῦ Ἑρκείου Διός.*

1448. ΤΙΘΕΜΑΙ. *συγκατατίθεμαι.*

1452. ΧΤΕΙΧΩΝ ΧΩΡΑΝ ΚΑΛΕΣΩ. *ἀσπάσομαι ἀναχωρῶν.* ΞΥΜΦΡΟΥΡΟΝ

1436. *συννόμω.* gl. *ἅμα νεμόμενοι.*

1443. *οὐ γὰρ ἡ εὐσέβεια συνθνήσκει βροτοῖς.* In Tragici exemplaribus perquam absurde legitur *ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς.* Optime Dawesius et post eum Toupius e Kusteri Suida in Εὐσέβεια, sublata ineptissima menda, veram lectionem restituit. Euripides in Temenidis: Ἀρετὴ δὲ, κἂν θάνῃ τις, *οὐκ ἀπόλλυται, Ζῇ δ' οὐκ ἔτ' ὄντος σώματος.*

1449. *πράσσειν.* Perperam codices et impressi *πράττειν.* Quin mendose etiam in Aldina *μέλετε.*

[1451. Particulæ *γὰρ* pluribus vocibus subjectæ exempla dedi in Melet. Crit. i. p. 76. *Schaef.*]

Digitized by Google

καὶ κτύπος ἄρσην πόντου προβλής,
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθην
πρᾶτ' ἐνδόμυχον πληγῆσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἕρμαιον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ', ὦ κρῆναι, Λύκιόν τε πατὸν,
λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
κἄμ' εὐπλοίᾳ πέμψον ἀμέμπτας,
ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει,
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.

ΧΟ. χωρῶμέν νυν πάντες ἀολλεῖς,
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι,
νόστου σωτῆρας ἱκέσθαι.

ΕΜΟΙ. τὸ φρουρῆσάν με καὶ φύλαξον. ΚΥΤΠΟΣ ΑΡΣΗΝ. ἰσχυρὸς, ἔντονος. ΕΡΜΑΙΟΝ ΟΡΟΣ. δύναται πάντα τὰ ὄρη Ἕρμαια καλεῖσθαι, ὅτι νόμιος ὁ θεὸς καὶ ὄρειος ὁ Ἑρμῆς. ἔστι δὲ καὶ Ἕρμαιον οὕτως ἐν Λήμνῳ καλούμενον. ἐμοὶ δὲ, φησὶ, πολλὰ βοῶντι καὶ τὸ Ἕρμαιον ὄρος ἀντεφθέγξατο. ΑΝΤΙΤΥΠΟΝ. ἀμοιβαῖον, ἀντίμιμον.

1461. ΓΛΥΚΙΟΝ ΤΕ ΠΟΤΟΝ. τινὲς ΛΥΚΙΟΝ ΠΟΤΟΝ γράφουσιν. ἔστι δὲ ἡ οὕτω καλουμένη κρήνη ἐν Λήμνῳ, Λυκίου Ἀπόλλωνος· ἢ, οἷον ἐν ἐρημίᾳ, ὑπὸ λύκων πινόμενον.

1463. ΔΟΞΗΣ. τῆς οἰήσεως. ἀντὶ τοῦ, οὐδέποτε τοῦτο οἰηθέντες, οὐδὲ ἐλπίσαντες τελειοῦσθαι, ὥστε ἀπελθεῖν εἰς Τροίαν. ΓΝΩΜΗ ΤΕ ΦΙΛΩΝ. τοῦ Ἡρακλέους, καὶ τοῦ Νεοπτολέμου. ΠΑΝΔΑΜΑΤΩΡ ΔΑΙΜΩΝ. τινὲς τὸν Ἡρακλέα νοοῦσιν· ἔκοι τὴν Τυχήν.

[1455. In προβλής θ' ego etiam incidi. Copula quomodo exciderit, nemo non videt. *Schæf.*]

1456. ἐτέγχθην. Libri omnes ἐτέγχθη, quod per me retineat, si cui placet magis. Quippe nihil obstat quin κρᾶσα, quod neutrius generis esse vidimus ad v. 1001. hic sit nominativus verbi: verum et sonus gratior est, et elegantior structura, si legatur ἐτέγχθην, quemadmodum in Aj. 1208. ἀεὶ πικιναῖς δρόσοις τεγγόμενος κόμας.

[1461. γλύκιον vox est nihili. Remansit me imprudente et nolente mendosa lectio quam corriget sedulus lector, literam γ abradendo. Vera lectio est λύκιόν τε πότον. Vide modo Scholiastam et Suidam in Λυκεῖον πότον.]

1469. In membr. et in Aldina, χωρῶμεν ἰδοὺ πάντες ἀολλεῖς. In B. χωρῶμεν ἤδη. Ortum hoc ex glossa, et refertur ad νῦν vel ad δή. In Trielinii recensione scriptum χωρῶμέν νυν. gl. δή. Isti duo pro ἀολλεῖς perperam habent ἀολλέες.

1471. σωτῆρας masculinum ad Nymphas refertur. Sic apud Æschylum S. Th. 321. εὐπραξία σωτήρ. Apud Nostrum Œd. T. 80. τύχη σωτήρ. In An-

Digitized by Google

tig. 1074. λωβητῆρες Ἐρινύες. Vide supra ad 223.

Ad primum Dramatis versum meminit Scholiastes noster Euripidis Philoctetæ, cujus pauca quædam fragmenta exstant in Musgravii editione legenda. Œconomia diversa a Sophocles, non ita simplici ac deducto filo; sed plurium personarum conventu intricatior actio fuit, multoque minus πάθους habuisse videtur. Vide Valckenarii Diatr. Eurip. cap. xi. et Dionis Chrysost. orationes lii. et lix. Ex Æschyli Philocteta tres versus servavit Stobæus Floril. Grotii p. 493. ad Regii codicis fidem sic legendos: Ὦ θάνατε παιὰν, μή μ' ἀτιμάσῃς μολεῖν. Μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν Ἰατρός. Ἄλγος δ' οὐδὲν ἅπτεται νεκρῶν. *Ne, ne tuum, oro, Mors, repellas supplicem. Tu sola desperata medicaris mala: A te receptos nullus attingit dolor.* Ista omnia in rem suam convertit noster Tragicus. Vide hujus dramatis v. 1348. Philoctetis ad Trojam fragm. i. et Œd. Col. 955.

ΤΕΛΟΣ ΦΙΛΟΚΤΗΤΟΥ.

Digitized by Google

Digitized by Google

ΣΟΦΟΚΛΕΟΥΣ

ΗΛΕΚΤΡΑ.

Digitized by Google

ΤΑ ΤΟΥ

ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ΟΡΕΣΤΗΣ.

ΗΛΕΚΤΡΑ.

ΧΟΡΟΣ.

ΧΡΥΣΟΘΕΜΙΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΑΙΓΙΣΘΟΣ.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ.

Ὑποκειται ὧδε τροφεὺς, δεικνὺς Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ ὄντα αὐτὸν κλέψασα Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε* τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσιν. ὁ δὲ ὑπεξέθετο αὐτὸν εἰς Φωκίδα πρὸς τὸν Στρόφιον· νῦν δὲ μετὰ εἴκοσιν ἔτη ἐπανιὼν σὺν αὐτῷ πρὸς τὸ Ἄργος, δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ Χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

[* δέδωκε. Debebat esse ἔδωκε. In Plutarchi Vit. Alex. c. 39. T. iv. p. 93. extr. Reisk. scribe πολλὰ ἔδωκεν. *Schæf.*]

Digitized by Google

Digitized by Google

ΣΟΦΟΚΛΕΟΥΣ

ΗΛΕΚΤΡΑ.

ΠΑΙΔΑΓΩΓΟΣ.

Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
τόδε γὰρ παλαιὸν Ἄργος, οὐπόθεις· τόδε,

ΑΠΕΙΡΟΚΑΛΟΝ τὸ λέγειν, ὅτι ὃν τρόπον τὰ κατὰ μέρος τῆς Ἰθάκης ἡ Ἀθηνᾶ ἔδειξε τῷ Ὀδυσσεῖ, οὕτως ἔδει καὶ τὸν παιδαγωγὸν τῷ Ὀρέστῃ δεῖξαι. τῷ μὲν γὰρ ἀγνοοῦντι δείκνυσιν ὁ παιδαγωγός· τῷ δὲ ἀπιστοῦντι ἡ Ἀθηνᾶ. ἅπαντα δὲ ἡμῖν φιλοτέχνως ἐν βραχεῖ δεδήλωκεν ὁ ποιητής· τὸν τόπον τῆς σκηνῆς· τὸν τρόπον ὡς παρέλαβεν αὐτὸν παρὰ τῆς ἀδελφῆς, καὶ πρὸς τὸν Στρόφιον ἐξέθετο· τὸν καιρὸν ἐν ᾧ πάρεισιν εἰς τὰς Μυκήνας· τὸν συνόντα, ὅτι Πυλάδης. φησὶ γὰρ ὑποκατίων· Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλεντέον.

1. Ὦ ΤΟΥ ΣΤΡΑΤΗΓΗΣΑΝΤΟΣ. πολλάκις παρατηροῦμεν, ὅτι οἱ παλαιοὶ τὰ συνεκτικὰ τῶν ὑποθέσεων ἐν ἀρχαῖς ἡμῖν δηλοῦσι. καὶ νῦν δηλοῖ πρὸς τίνα ὁ λόγος, ὅπερ ἦν ἀναγκαῖον πρόσωπον. ΝΥΝ ΕΚΕΙΝ' ΕΞΕΣΤΙ ΣΟΙ. προσοχὴν ὁ λόγος ἀπεργάζεται, σκοπούντων ἡμῶν, τί δήποτε προθυμεῖται τὴν πόλιν ἰδεῖν.

4. ΤΟ ΓΑΡ ΠΑΛΑΙΟΝ ΑΡΓΟΣ. Ὅμηρος χωρίζει τὸ Ἄργος καὶ τὴν Μυκήνην· (Ἰλ. δ'. 52.)

Ἄργος τε, Σπάρτη τε, καὶ εὐρυάγυια Μυκήνη.

οἱ δὲ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασίν. Ἄλλως. Ἄργος ὁμωνύμως τῇ χώρᾳ. ΠΑΛΑΙΟΝ δὲ, ἢ ὅτι Ἄργος, ὁ προπάτωρ αὐτῶν, γηγενὴς ἦν, ἢ ὅτι καὶ αὐτοὶ πρωτογενεῖς ἀντιποιοῦνται εἶναι. ἔστι δὲ ἔτι καὶ τὸ περὶ τοῦ πυρὸς μέχρι τοῦ νῦν δεικνύμενον, καὶ λεγόμενον, ὡς ἀπ' οὐρανοῦ πρῶτον ἐκεῖσε κατηνέχθη.

2. ἔξεστί σοι παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί. Æschylus Choëph. 213. Εἰς ὄψιν ἥκεις, ὧνπερ ἐξήυχον πάλαι.

4. τόδε γὰρ παλαιὸν Ἄργος, οὐπόθεις. Sic scriptum in E. vere, ni fallor. τόδε (δεικτικῶς) γὰρ παλαιὸν Ἄργος ἐστὶν, ὃ ἐπόθεις. Vulgo legitur τὸ γὰρ— et aliter distinguitur. In fine versus τόδε ad sequens pertinet ἅλσος. Accipi autem hic potest Ἄργος, pro regionis nomine: at probabilius est urbem indigetari, quam unam Tragici modo Argos, modo Mycenas promiscuo nomine

Digitized by Google

τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὐξ ἀριστερᾶς δ' ὅδε,
Ἥρας ὁ κλεινὸς ναός· οἵ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε,
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβών,
ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν, Ὀρέστα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας

6. ΤΟΥ ΛΥΚΟΚΤΟΝΟΥ ΘΕΟΥ ΑΓΟΡΑ ΛΥΚΕΙΟΣ. *οὐκ ἀπ' ἄλλου τινὸς ποιεῖται τὴν δεῖξιν, ἢ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος, ὅπερ ἀρχαιότατον κατὰ τὴν ἐν τῷ Ἄργει ἀγοράν, ἐν ᾧ καὶ τὸ πῦρ ἀπόκειται, περὶ οὗ πρόσθεν εἰρήκαμεν. ἔστι δὲ καταντικρὺ τοῦ Νεμείου Διός. παραγενόμενοι οὖν εἰς Ἄργος, ὁ τροφεὺς δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει· (λέγων ἔστιν οὐκ ἄποθεν τῶν Μυκηνῶν, ἀλλ' ἐξ ἀπόπτου φαίνεται.) καὶ τὸν ναὸν τῆς Ἥρας ἐξ ἀριστερᾶς ὄντα Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσι. Λυκοκτόνον δὲ τὸν Ἀπόλλωνα, οἱ μὲν διὰ τὸ νόμιον εἶναι τὸν θεὸν, καὶ τοὺς ἐπιβούλους τῶν ποιμνίων φονεύειν, διὸ καὶ λύκους αὐτῷ φασι θύεσθαι ἐν Ἄργει· οἱ δὲ διὰ τὸ ἱερὸν εἶναι αὐτοῦ τὸ ζῶον, ὡς καὶ τῆς Ἀρτέμιδος τὰς ἐλάφους· ὅθεν καὶ τῷ νομίσματι τῶν Ἀργείων ἐγχαράττεσθαί φασι λύκους, ὡς καὶ τὰς γλαῦκας Ἀθήνησι.* ΟΥΤΞ ΑΡΙΣΤΕΡΑΣ. *ἔστι γὰρ ἐξ ἀριστερᾶς τῶν Μυκηνῶν τοῖς ἀπὸ Κορίνθου εἰσιοῦσιν Ἥρας ναός· ἐκ Φωκίδος δὲ παραγενόμενοι, διὰ Κορίνθου πεποίηνται τὴν ὁδόν.*

9. ΤΑΣ ΠΟΛΥΧΡΥΣΟΥΣ. *Ὅμηρος· (Ἰλ. η'. 180.) πολυχρύσοιο Μυκήνης.* ΠΟΛΥΦΘΟΡΟΝ. *ἐν ᾧ πολλαὶ φθοραὶ καὶ φόνοι ἐγένοντο.*

14. ΤΟΣΟΝΔ' ΕΣ ΗΒΗΣ. *τὸ βραχὺ τῆς ἡλικίας δηλοῖ, ὡς περὶ παιδαρίου οὕπω βαδίσαι δυναμένου.*

appellare solent. Strabo p. 377. *διὰ δὲ τὴν ἐγγύτητα τὰς δύο πόλεις ὡς μίαν οἱ τραγικοὶ συνωνύμως προσαγορεύουσιν. Εὐριπίδης δὲ καὶ ἐν τῷ αὐτῷ δράματι, ποτὲ μὲν Μυκήνας καλῶν, ποτὲ δ' Ἄργος τὴν αὐτὴν πόλιν, καθάπερ ἐν Ἰφιγενείᾳ καὶ Ὀρέστῃ.* Infra, v. 1459. *Μυκηναῖοι* et *Ἀργεῖοι* ejusdem urbis sunt incolæ. [Brunckius *τόδε γὰρ π. Α.* In exitu versus vulgo *τόδε. Schæf.*]

9. Hunc locum imitatus est Heniochus Comicus apud Stobæum Floril. Grotii p. 169. *Τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ Ὀλυμπία. τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ, Σκηνὴν ὁρᾷν θεωρικὴν νόμιζέ σε.* [*φάσκειν—ὁρᾶν.* Sic etiam Ed. R. v. 462. Herodotus iii. c. 35. *ἦν δὲ ἀμάρτω, φάναι Πέρσας τε λέγειν ἀληθέα, καὶ με μὴ σωφρονέειν.* Theocritus xxii. v. 56. *μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν. Schæf.*]

12. Eustathius ad Il. γ'. 238. *αὐτοκασιγνήτω, τό μοι μία γείνατο μήτηρ,* ista observat p. 410. *Ὅρα, ὅτι Ὁμήρου τοὺς κασιγνήτους ἑρμηνεύσαντος, Σοφοκλῆς τὴν ὁμαιμον διασαφεῖ ἐν τῷ, Πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης. ποιεῖ δὲ τοῦτο ἐκεῖνος, διὰ τὸ μὴ πάντα ὁμαίμον ἤδη καὶ κασίγνητον εἶναι. ὅμαιμοι γὰρ πολλαχοῦ, καὶ οἱ ἁπλῶς καθ' αἷμα, καὶ προσγενεῖς, ὡς δηλοῖ καὶ Λυκόφρων, ὁ καὶ αὐθομαίμους τοὺς τοῦ αὐτοῦ γένους εἰπών.*

Digitized by Google

ἐῷα πινεῖ φθέγματ' ὀρνίθων σαφῆ,
μέλαινά τ' ἄστρων ἐπλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυναπτέον λόγοισιν· ὡς ἐνταῦθ' ἐμὲν,
ἵν' οὐκ ἔτ' ὀκνεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή.

ΟΡΕΣΤΗΣ.

ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.

19. ΜΕΛΑΙΝΑ Τ' ΑΣΤΡΩΝ. ἐχρῆν οὕτως εἰπεῖν. μελαίνης νυκτὸς τὰ ἄστρα ἐκλέλοιπεν. ὡς τὸ (Ἰλ. ε'. 726.) ὁ δὲ χασσάμενος τελεμίχθη. ἡ οὕτως· ἐκλέλοιπε τῶν ἄστρων ἡ μέλαινα εὐφρόνη. Ἵν' ᾖ τὸ ΑΣΤΡΩΝ πρὸς τὸ ΕΚΛΕΛΟΙΠΕΝ.

22. ΑΚΜΗ. σπουδή. πιθανῶς δὲ ἐγείρει τὸν ἀκροατὴν προσέχειν τοῖς ἔργοις, ἃ ταχέως συμβουλεύει τελεσθῆναι.

23. Ω ΦΙΛΤΑΤ' ΑΝΔΡΩΝ. διδάσκει ἡμᾶς μεθ' οἵων ἀνδρῶν δεῖ τὰ ἀπόῤῥητα

19. Schema hujus versus infra ad v. 758. ἀντίπτωσις appellatur a Scholiasta. Vide ad Œd. T. 833.

21. ξυναπτέον λόγοισι. Sic scriptum in E. recte, ut legendum esse acute vidit Toupius ad Suidam i. 87. *Conferenda nobis sunt consilia:* non, *conferte consilia.* Quippe muta est Pyladis persona, quem jure speraremus mox locuturum, si dixisset senex ξυνάπτετον λόγοισιν, ut vulgo legitur.—ὡς ἐνταῦθ' ἐμὲν— Sic Aldus et membr. cum vetustissimis optimisque codd. Superscripta in quibusdam glossa ἐσμὲν, quæ in aliis codd. librariorum stupore textum invasit. Primitivam formam ἐμὲν tuetur Grammaticus antiquus cujus observationem in minoribus scholiis edidi: ἀναλογώτερον δὲ τὸ ΕΜΕΝ. ἀπὸ τούτου γὰρ γίνεται τὸ ΕΣΜΕΝ πλεονασμῷ τοῦ σ. Tuetur etiam Eustathius, cujus quædam huc pertinentia excerpam ex commentario in Odys. γ'. p. 1457. τοῦ δὲ ἐστὲ προτότυπος κίνησις ἐκ τοῦ εἰμὶ, ἐμὲν, ἐτέ· καὶ ἄλλως μὲν προσθέσει τοῦ ι, εἰμὲν, εἰτέ· Δωρικῶς μέν τοι ἐσμὲν, ἐστέ. ἡμάρτηται δὲ καθ' Ἡρακλείδην τὸ ἐστέ. ὡς γὰρ οὐ λέγομεν δείκνυστε ἢ φαστὲ, οὕτως οὐδὲ ἐτὲ, ἐστέ—εἶτα ἐπιφέρων καὶ χρῆσιν τοῦ ἐμὲν, ὅθεν γίνεται τὸ ἐσμὲν, λέγει ὅτι Ὅμηρος μὲν σὺν τῷ ι ἔφη, ἀπήμονες εἰμέν· τὸ δὲ ἀνάλογον παρὰ Καλλιμάχῳ ἐν τῷ Γρῆες ἐμέν. ἤγουν γραῖαι ἐσμέν. Ista, ut opinor, nunquam legerat Rich. Dawesius, qui Miscell. Crit. p. 281. ἐμὲν pro ἐσμὲν ne Ionibus quidem, nedum Atheniensibus, rite adhiberi potuisse negat. En tamen Callimachum hac forma in carmine usum, non alia dialecto quam Ionica scripto. Verum primitivum ἐμὲν in quacunque dialecto, et quibuscunque poëtis permissum fuisse constat. Quod autem idem Dawesius reponendum censebat, ὡς ἐνταῦθ' ἴμεν, merito Toupius ineptum esse affirmat. Sed fallitur ipse, quum ἐσμὲν legendum esse, et hujus vocis priorem corripi posse, statuit; quod falsissimum est. Si quis Tragicorum et Comicorum quæ supersunt omnia legat et perlegat, non unicum exemplum incorruptæ fidei excitabit correptæ vocalis brevis ante consonantes σμ, στ, nec uspiam reperiet ἐσμὲν prima brevi. Longa est nuperi Parisini editoris hanc in rem disputatio, odii plena, in qua quot verba, tot fere errores. Argumenta sumit ex poëtarum depravatis versibus, quos dudum emendarunt peritiores critici. Aristophanis quos profert versus, ipsum eos dimetiri nesciisse, aut perperam legisse, demonstravi in nota ad Thesmoph. 56. Philippidis, seu potius Philippi, senarium emendate scriptum dedimus in Gnomicis Græcis p. 200. [ἴμεν dedi cum Erfurdtio. Libri habent ἐμὲν, formam fidei incertissimæ. *Schæf.*]

24. γεγὼς. Participium pro infinitivo. Vide ad Aj. 472.

Digitized by Google

ὥσπερ γὰρ ἵππος εὐγενὴς, κἂν ἦ γέρων, 25
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ' ὀρθὸν οὖς ἵστησιν· ὡσαύτως δὲ σὺ
ἡμᾶς τ' ὀτρύνεις, καὐτὸς ἐν πρώτοις ἔπη.
τοιγὰρ τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις δίδου, 30
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ ποτὲ
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῆ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσει τάχα· 35
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολὼν, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον, 40
ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.

τοιεῖν καὶ λέγειν. ΞΗΜΕΙΑ ΦΑΙΝΕΙΣ ΕΣΘΛΟΣ. τοῦ εἶναί σε πιστὸν εἰς ἡμᾶς.
26. ΕΝ ΤΟΙΣΙ ΔΕΙΝΟΙΣ. ἐν τοῖς πολέμοις. ΕΝ ΠΡΩΤΟΙΣ ΕΠΗι. ἀκολουθεῖς. διὰ τὴν ἀπὸ τοῦ γήρως εὐβουλίαν.
31. ΕΙ ΜΗ ΤΙ ΚΑΙΡΟΥ. εἴ τι σοι δοκῶ μὴ καλῶς βεβουλεῦσθαι, μεθάρμοσον, ὅ ἐστιν, ἐπανόρθωσον. ἔστι δὲ ἀγάσασθαι τὸν νεανίσκον, ὅτι μὴ πάνυ αὐθέκαστος φαίνεται.
32. ΕΓΩ ΓΑΡ ΗΝΙΧ' ΙΚΟΜΗΝ. διὰ τῆς διηγήσεως ταύτης τὸ λεῖπον τῆς ἱστορίας προσανεπλήρωσεν ἡμῖν. ΑΣΚΕΤΟΝ ΑΤΤΟΝ. ἢ αὐτὸν τὸν Αἴγισθον ἀπαρασκεύαστον ὄντα, ἢ τὸν Ὀρέστην. οἷον μὴ μετὰ πολέμου ἐπεμβῆναι.
40. ΙΣΘΙ ΠΑΝ. περιέργασαι τὰ πραττόμενα. ΟΤ ΓΑΡ ΣΕ ΜΗ ΓΗΡΑι ΤΕ. τοῦ πιθανοῦ χάριν οὕτως εἶπε. ΗΝΘΙΣΜΕΝΟΝ τινὲς ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. τοῦτο δὲ ἀπίθανον. ἐγνώσθη γὰρ ἄν, εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον· οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν, ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

[27. ὡσαύτως δὲ σὺ—. V. Melet. Crit. in Dionys. Hal. i. p. 59. *Schæf.*]

34. ἀροίμην futurum est optativi, cujus prima corripitur: in aoristo ἀραίμην producitur. De constructione futuri optativi vide Rich. Dawesium laudatum ad Œd. T. 792.

36. ἄσκευον ἀσπίδων. Vide ad Œd. T. 191.

43. οὐδ' ὑποπτεύσουσιν. Sic codd. omnes, etiam is qui ad Triclinii recensionem scriptus est. In unico C. diphthongo *ou* superscriptum ω, pro variæ lectionis indicio; sed glossa ad probam directa, ὑπονοήσουσιν. In Aldina perperam excusum ὑποπτεύουσιν, quæ menda in Juntina sublata fuit, reposito ὑποπτεύουσιν. Primus Turnebus in-

Digitized by Google

λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεὺς, παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθεὶς, ὅθ' οὕνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἅθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς

45. ΠΑΡ' ΑΝΔΡΟΣ ΦΑΝΟΤΕΩΣ. *τὸν Φωκέα προθεὶς, ἐπήνεγκε Φανοτέα, ἀπὸ τοῦ ὅλου εἰς τὸ μερικὸν καταβαίνων, ὁμοίως τῷ·* (Ὀδ. θ'. 362.)

ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
ἐς Πάφον.

ἐλέγοντο γὰρ ὁλοσχερέστερον μὲν Φωκεῖς· ἐπὶ μέρος δὲ Κρισαῖοι, Φανοτεῖς. πόλεως δὲ ὄνομά φασι τὸ Φανοτέως. ΔΟΡΥΞΕΝΩΝ. *ἀντὶ τοῦ, φίλων. κυρίως δὲ οἱ ἐν πολέμῳ γεγνόμενοι φίλοι, ὡς Γλαῦκος καὶ Διομήδης.*

47. ΑΓΓΕΛΛΕ Δ' ΟΡΚΩ. *μὴ σμικρολόγως τις ἐπιλάβηται, ὡς κελεύοντος ἐπιορκεῖν, τοῦ ποιητοῦ. δεῖ γὰρ αὐτὸν πεῖσαι τῷ θεῷ, τὸ πᾶν δόλῳ πράσσειν παρακελευομένῳ, ὥστε ἐν οἷς δοκεῖ ἐπιορκῶν δυσσεβεῖν, διὰ τούτων εὐσεβεῖ, πειθόμενος τῷ θεῷ· ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος, ὡς ἐν Φωκίδι τρεφόμενον καταβῆναι ἐς τὰ Πύθια. ἀνῆκται δὲ τοῖς χρόνοις. ἐπὶ Τριπτολέμου γάρ φασι γενέσθαι Πυθικὸν ἀγῶνα, ἑξακοσίοις ἔτεσιν ὕστερον.* ΕΞ ΑΝΑΓΚΑΙΑΣ ΤΥΧΗΣ. *βιαίως, οἷον ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταυτομάτου, ἐκ βίας, ἐκ συντυχίας, οὐκ ἰδίῳ θανάτῳ.* ΑΘΛΟΙΣΙ ΠΥΘΙΚΟΙΣΙ. *τοῖς χρόνοις ἀνῆκται. νεώτερος γὰρ Ὀρέστου ἐστὶν ὁ Πυθικὸς ἀγών. πιθανὸν δὲ τὸ ἐν Φωκίδι ἀνατρεφόμενον τὰ Πύθια ἀγωνίζεσθαι.* ΩΔ' Ο ΜΥΘΟΣ. *ἡ ἔκβασις τοῦ λόγου, ἢ τὸ κεφάλαιον.* ΕΣΤΑΤΩ. *βεβόχθω.*

51. ΩΣ ΕΦΙΕΤΟ. *ὡς ἐκέλευσεν, ὁ Ἀπόλλων δηλονότι.* ΚΑΡΑΤΟΜΟΙΣ ΧΛΙ-

vexit ὑποπτεύσωσιν, genuinum id esse opinatus scilicet, quia præcedit verbum subjunctivi modi γνῶσι. Verum purum putum solœcismum esse ostendimus in nota ad Comici Lysistr. 704.

46. δορυξένων. Eustathius ad Homerum p. 405. Περὶ δὲ δορυξένου Παυσανίας φησὶν, ὅτι δορύξενος, ὁ ἐκ πολεμίων φίλος, καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεὶν τινες. Σοφοκλῆς δὲ ἐν τῷ, Ὁ γὰρ, ἥγουν οὗτος, μέγιστος αὐτοῖς τυγχάνει δορυξένων, ἢ παραχρῆται τῇ λέξει πδιητικώτερον. ἢ δριμέως δορυξένους λέγει τοὺς τοῖς φονεῦσι τοῦ Ἀγαμέμνονος φιλωθέντας, ἵνα πολεμικῶς ἐχθραίνωσι τοῖς ἐκείνου παισὶν ὡς εἶναι οὕτω δορύξενον εἰπεῖν, καὶ τὸν χάριν δουρὸς, ἤτοι πολέμου, συμμαχικῶς ξενισθέντα ὑπό τινων. Posterior ratio haud valde probabilis est. Aliunde constat Tragicos nomine δορύξενος *hospitem* simpliciter significare. Sic Ægeus de Pittheo dicit in Euripidis Medea 688. Κἀμοί γε πάντων φίλτατος δορυξένων.

47. ἄγγελλε δὲ προστιθεὶς, ἀγγελίαν δηλαδὴ, ὅρκῳ. λέγεται δὲ ἀντιστρόφως ἀντὶ τοῦ, προστιθεὶς ὅρκον τῇ ἀγγελίᾳ.—ἐξ ἀναγκαίας τύχης. βιαίας. πάντα γὰρ τὰ ἐξ ἀνάγκης, βιαῖα. θάνατος, ἢ δουλεία, ἢ μετ' αἰχμαλωσίας. Vide ad Aj. 485. [ὅρκον qui pro ὅρκῳ scribunt, reconditam dignamque poëta locutionem mutant prosaico et vulgari. Ad sensum quidem nihil interest, scribas ὅρκον προστιθεὶς (τοῖς ἀγγελλομένοις), an ὅρκῳ προστιθεὶς (τὰ ἀγγελλόμενα). *Schæf.*]

52. λοιβαῖσι πρῶτον. Sic Aldus et Scholiastes cum duobus codd. In aliis λοιβαῖς τε πρῶτον.

Digitized by Google

στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις αἵματά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες, ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον.
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ', ἐχθροῖς, ἄστρον ὡς, λάμψειν ἔτι.

ΔΑΙΣ. τοῖς ἀπὸ κράτος τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδάς, ἤτοι καθόλου τοὺς πλοκάμους, οἳ εἰσι τρυφὴ τῆς κεφαλῆς· ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ.

54. ΤΥΠΩΜΑ. τὸ ἄγγος, τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δεκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο. ΚΛΕΠΤΟΝΤΕΣ. ἀπατῶντες, παραλογιζόμενοι. Ὅμηρος· (Ἰλ. α'. 132.) κλέπτε νόῳ.

62. ΗΔΗ ΓΑΡ ΕΙΔΟΝ. Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ, λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς τεθνηκὼς εἴη· καὶ μετὰ ταῦτα ἐπιφανείς, περὶ παλιγγενεσίας καὶ τῶν καθ' Ἅιδου τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν Ἅιδου συντετυχηκέναι ἔλεγεν· ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδης ἦν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος ὁ Σάμιος, εἶτα Πύῤῥος ὁ Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας. εἰς τοῦτο οὖν ἀποτείνεσθαι ἔοικεν ὁ Σοφοκλῆς. ἔνιοι δὲ οἴονται ἀπιθάνως, εἰς Ὀδυσσέα ἀποτείνεσθαι. οὐ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ. ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα, μὴ καὶ τῶν θαυμασιῶν εἶναι δόξῃ ἐν τραγῳδίᾳ, καὶ μύθῳ παλαιῷ τετόλμηκέ τι κακόηθες εἰπεῖν καὶ προσκρουστικὸν εἰς τοὺς καθ' ἑαυτὸν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ.

57. *φέρωμεν*. Sic ex indole linguæ invitis librariis legendum. *ἥξομεν πάλιν ὅπως φέρωμεν αὐτοῖς ἡδεῖαν φάτιν*. Solœcum est quod vulgo legitur *φέροιμεν*. Particulæ *ὡς, ὅπως, ἵνα, ut* significantes, cum optativo non construuntur, nisi præcedat verbum temporis præteriti. Vide Dawesii Miscell. Crit. p. 82.

61. *ῥῆμα κακὸν, male ominatum dictum* recte interpretatur Desid. Heraldus ad Arnobium p. 151. editionis Parisinæ. Helenæ roganti apud Euripidem in cognomine dramate 1059. Βούλει λέγεσθαι, μὴ θανὼν, λόγῳ θανών; respondet Menelaus: Κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων, Ἕτοιμός εἰμι, μὴ θανὼν λόγῳ θανεῖν. Nostri *κακὸν ῥῆμα*, idem est ac illius *κακὸς ὄρνις*. Proinde culpanda non est hæc sententia, ut illa quam e Tragico nostro profert Plutarchus: Τὸ *κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἔῃ*. et ista Diphili apud Stobæum; *Καιρῷ τιθέμενον ψεῦδος ἐς καρπὸν φέρει*. Confer Nostrum in Æthiopibus i.

66. *δεδορκότα, βλέποντα*, id est *ζῶντα*. Perperam Eustathius p. 1259. extrema, participium hoc passivo sensu accipit: Σοφοκλῆς δὲ ἐν τῷ, *ἐχθροῖς δεδορκότα λάμψειν ὡς ἄστρον, ἐπὶ τοῦ ὁραθῆναι παθητικῶς τὴν λέξιν τίθησιν*

Digitized by Google

ἀλλ', ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς, πρὸς θεῶν ὡρμημένος·
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νυν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νῶ δ' ἔξιμεν. καιρὸς γὰρ, ὅσπερ ἀνδράσι
μέχιστος ἔργου παντὸς ἔστ' ἐπιστάτης.

ΗΛΕΚΤΡΑ.

ἰώ μοι μοι δύστηνος.

ΠΑΙ. καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡ. ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων;

ΠΑΙ. ἥκιστα. μηδὲν πρόσθεν, ἢ τὰ Λοξίου,
πειρώμεθ' ἕρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά. ταῦτα γὰρ φέρει

68. ΔΕΞΑΣΘΕ Μ' ΕΥΤΥΧΟΥΝΤΑ. ἐπ' εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι. ἢ οὕτως· δέξασθέ με εὐτυχοῦντα, καὶ εὐτυχῶς ἐπιχειροῦντα ταύταις ταῖς μηχαναῖς. ΑΡΧΕΠΛΟΥΤΟΝ. ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀπολῃψόμενον.

75. ΝΩ Δ' ΕΞΙΜΕΝ. ἐξιέναι βούλονται, διὰ τὴν εἴσοδον τοῦ Χοροῦ. ΚΑΙΡΟΣ ΓΑΡ. ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατον, ὁ καιρὸς ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γιγνόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο.

78. ΚΑΙ ΜΗΝ ΘΥΡΩΝ. τὸ ἑξῆς· ἔνδον θυρῶν. θαυμαστῶς δὲ ὁ γέρων οὐκ ἐπιβέβηκε τῷ ἀληθεῖ· ἀλλ' ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην, ΠΡΟΣΠΟΛΩΝ ΤΙΝΟΣ φησίν.

80. ΑΡ' ΕΣΤΙΝ Η ΔΥΣΤΗΝΟΣ. ὑπὸ νεότητος Ὀρέστης παράγεται φιλυπευστεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει. ΑΝΑΚΟΥΣΩΜΕΝ, ἐπακούσομεν.

82. ΜΗΔΕΝ ΠΡΟΣΘΕΝ. ἅμα μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ· ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν· διελύθη γὰρ ἂν τὸ πᾶν, ἐξ ἀρχῆς μηνυθέντος Ὀρέστου.

ὡς τοῦ μέσου παρακειμένου ἐν πολλοῖς ἐναμφοτερίζοντος.

73. γέρον. Sic membr. et plerique alii codd. In Aldina γέρων.

75. Pindarus Pyth. ix. 135. ὁ δὲ καιρὸς ὁμοίως πάντὸς ἔχει κορυφάν.

83. πειρώμεθ' ἕρδειν. Perperam in impressis ἕρδειν cum spiritu aspero.

Digitized by Google

νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων. 85

ΗΛ. Ὦ φάος ἀγνὸν, καὶ γῆς
ἰσόμοιρος ἀὴρ, ὡς μοι
πολλὰς μὲν θρήνων ᾠδὰς,
πολλὰς δ' ἀντήρεις ἤσθου
στέρνων πλαγὰς αἱμασσομένων, 90
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ πανυχίδων, ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,

86. Ω ΦΑΟΣ ΑΓΝΟΝ. ὀλόφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις, ὅπερ σύνηθες τοῖς τραγικοῖς, κινητικὸν τοῦ πένθους. τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι. ἐπεὶ δὲ ἔληθές ἐστι πρὸς τοὺς θεατὰς, ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς, ἢ μάρτυρας τῶν θρήνων καλοῦσα, πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον. καὶ οὕτως ἡμῖν δηλωθήσεται, ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ τὸν πατέρα. ἰσόμοιρον δέ φησιν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παρατείνειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει· καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ· συνέστραπται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθείη, ἰσωθήσεται αὐτῷ. οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον· (Θεογ. 126.)

Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανόν.

ἰσόμοιρον δὲ γῆς ἀέρα, τὸν σκότον φησὶν, ἵνα τὸ ΦΑΟΣ ΑΓΝΟΝ ἀντιδιαστέλληται. ΚΑΙ ΓΗΣ φησὶν ΙΣΟΜΟΙΡΟΣ ΑΗΡ, ἴσην μοῖραν ἔχων τῇ γῇ. πανταχοῦ γάρ ἐστιν ἀήρ. ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα· ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. τινὲς δὲ, ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ, διὰ τὰ ἀπὸ κέντρου διαστήματα. ἰσόμοιρος οὖν, διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς. καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν. τὸ δὲ ΑΗΡ τὸ α συνέστειλε διὰ ῥυθμὸν ἢ μέτρον. ὦ φάος ἀγνὸν, ὅσα μοι σύνοιδας θρηνούσῃ καὶ κοπτομένῃ. τὸ δὲ κατάλληλον οὕτως· ὡς πολλὰς μὲν ᾠδὰς ἤσθου, πολλὰς δὲ πληγὰς αἱμασσομένων τῶν στέρνων.

89. ΠΛΗΓΑΣ ΑΝΤΗΡΕΙΣ. τραγικώτερον δέ πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι. μετῆκται δὲ ἀπὸ τῶν ἐρεσσόντων· οἷον πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας. ἢ ἀντήρεις, ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσι, καὶ μὴ εἰς θάτερον περιωθῆται ἡ ναῦς. ἀντήρεις οὖν, ἀντικτυπούσας τοῖς θρήνοις. θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον. ΗΙΣΘΟΥ. ἀντὶ τοῦ, ἔμαθες. ΑΙΜΑΣΣΟΜΕΝΩΝ. διὰ τούτων ἡ ἐπίτασις. ΟΠΟΤΑΝ ΔΝΟΦΕΡΑ. ὅσα μὲν, φησὶ, διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς. λέγει δὲ, ὅτι οὐ διαλείπω οὔτε νυκτὸς, οὔτε ἡμέρας κλαίουσα. ΤΠΟΛΕΙΦΘΗι, παρέλθῃ.

89. ἀντήρεις πλαγὰς στέρνων, *percussiones oppositas pectoris*, seu *oppositi pectoris planctus*. Quippe ut ictu lædatur pectus, oppositum illi esse debet, quo ictus infligitur. Bene monet Heathius ἀντήρης non derivari ab ἐρέσσω, sed unice ab ἀντί. Terminatio illa ηρης permultorum vocabulorum nihil aliud est quam paragoge. At pleraque omnia Grammatici composita esse somniarunt a substantivo et verbo, seu ἐρέσσω, seu ἄρω. Recti devius ad hunc locum Scholiastes, doctius ad Antig. 1136. κισσήρεις interpretatur κισσοφόροι. Adjectivum est a κισσὸς deductum, non compositum a κισσὸς et ἄρω. Idem statuendum de πετρήρης, τυμβήρης, et aliis hujus formæ, quorum plurima recenset Valckenarius ad Phœnissas 90. Ad sensum bene ἀντήρεις exponitur in glossa ἀντιτύπους.

96. οὐκ ἐξένισεν. Sic Scholiastes bene. Aldus et plerique codd. ἐξείνισε: in meo ἐξένισα.

Digitized by Google

ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν πατὰ μὲν βάρβαρον αἶαν
Φοίνιος Ἄρης οὐκ ἐξένισεν,
μήτηρ δ' ἡ 'μὴ χὼ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
σχίζουσι πάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
ἀϊκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων,
στυγερῶν τε γόων, ἕως τ' ἂν
λεύσσω παμφεγγεῖς ἄστρων
ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ, τεκνολέτειρ' ὥς τις ἀηδών,
ἐπὶ κωκυτῷ, τῶνδε πατρῴων
πρὸ θυρῶν, ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἄϊδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' Ἀρά,
σεμναί τε θεῶν
παῖδες Ἐρινύες, αἳ τοὺς

94. ΟΣΑ ΤΟΝ ΑΤΣΤΗΝΟΝ. κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως. ἴδου γὰρ ἤγνωμεν, ὅτι ἀδελφὴ τοῦ Ὀρέστου, καὶ διὰ τί θρηνεῖ. ΟΝ ΚΑΤΑ ΜΕΝ ΒΑΡΒΑΡΟΝ. παρὰ τὸ ὑπὸ Ἀγαμέμνονος ἐν τῇ Νεκυίᾳ· (407.) Οὔτε με ἀνάρσιοι ἄνδρες —καὶ τὰ ἑξῆς. πάνυ δὲ περιπαθῆς ὁ λόγος, εἰ καὶ πολεμίων πικρότερα ἐφάνη Κλυταιμνήστρας τῷ ἰδίῳ ἀνδρί. πάνυ γὰρ περιπαθὲς τὸ ἐπὶ τηλικούτου καὶ τοσαῦτα διαπραξαμένου εἰπεῖν, ΟΠΩΣ ΑΡΤΙΝ ΤΛΟΤΟΜΟΙ.

95. ΟΥΚ ΕΞΕΝΙΣΕΝ. ἀντὶ τοῦ, οὐκ ἀπέκτεινε. ξένια γὰρ Ἄρεος, τραύματα, φόνοι, καὶ Ἀρχίλοχος· Ξείνια δυσμενέεσσι λιγρὰ χαριζόμενοι. ΑΠ' ΑΛΛΗΣ Η 'ΜΟΥ. εἰ δὲ καὶ τὰ τῆς Χρυσοθέμιδος παράκειται, αὕτη γε, διὰ τὸ πάνυ ἀλγεῖν, οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται, ἢ μόνην αὐτήν.

102. ΑΔΙΚΩΣ ΟΙΚΤΡΩΣ ΤΕ. ἔν τισιν ὑπόκειται ἀντὶ τοῦ ἀδίκως, ΑΙΚΩΣ. καὶ οἰκτρῶς μέν, διὰ τὸ βίᾳ, καὶ ἐπίβουλευθέντα· ἀϊκῶς δὲ, ὅτι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίσατο. ΑΛΛ' ΟΥ ΜΕΝ ΔΗ ΛΗΞΩ. ὁ νοῦς· ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας οὔτε νυκτὸς ὀδυρομένη, ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

112. ΣΕΜΝΑΙ. εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες.

102. ἀϊκῶς auctore Scholiasta reposui, apud quem perperam scriptum ἀεικῶς, de quo videbimus infra ad v. 216. In Tragici exemplaribus deterior lectio obtinet, ἀδίκως. Ad ἀεικῶς pertinet glossa in D. ἀνέπαιστος.

104. ἕς τ' ἄν. gl. ἕως ἄν. Mirari subit nemini librario hic libuisse scribere ὡς ἄν. Vide ad Aj. 1117. et Philoct. 1330.

107. μὴ οὐ semper est monosyllabum. Inepte Triclinius harum vocularum priorem præcedenti versui contribuit, ut fieret dimeter acatalectus.

Digitized by Google

ἀδίκως θνήσκοντας ὁρᾶτε,
τοὺς τὰς εὐνὰς ὑποκλεπτομένους, 115
ἦλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,
κἀμοὶ τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκ ἔτι σωκῶ
λύπης ἀντίῤῥοπον ἄχθος. 120

ΧΟΡΟΣ.

Ὦ παῖ, παῖ δυστανοτάτας στροφὴ α'.
Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ
τάκεις ὧδ' ἀκόρεστ' οἰμωγὰν,

120. ΑΝΤΙΡΡΟΠΟΝ ΑΧΘΟΣ. ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι. ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ οὕτως τὸ ΑΝΤΙΡΡΟΠΟΝ, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρὼν, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν. μόνη γὰρ φέρειν οὐκ ἔτι ΣΩΚΩ, ἀντὶ τοῦ ἰσχύω· οἱ δὲ νεώτεροι, ἀντὶ τοῦ σώζω.

121. ΙΩ ΠΑΙ ΠΑΙ. πάροδός ἐστι Χοροῦ γυναικῶν, τῇ Ἠλέκτρᾳ συναχθομένων. ΔΥΣΤΑΝΟΤΑΤΑΣ, τῆς ἐξωλεστάτης. οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος. ΤΙΝ' ΑΕΙ ΤΑΚΕΙΣ. ἀντὶ τοῦ, διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ; ΑΘΕΩΤΑΤΑΣ, ἀσεβεστάτης. Ο ΤΑΔΕ ΠΟΡΩΝ. λίαν αἰδήμων ὁ Χορὸς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν. καὶ γυναικῶν ἐστιν ἴδιον, μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασι καταλέγειν ἄλλης γυναικός. καὶ τὸ ΕΙ ΜΟΙ ΘΕΜΙΣ ΤΑΔ' ΑΤΔΑΙΝ λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν. ἐπεὶ κατ' ἀρχόντων ἦν ὁ λόγος, ἢ ἐπεῖ δοκεῖ δυσφημεῖν, φησίν· εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι.

113. *αἳ τοὺς*—Sic Aldus et codd. omnes veteres. Triclinii stupor articulum *αἳ* ejecit, sine quo nec metrum, nec sententia constat. Heathius et Parisinus editor notarum suarum ad hunc locum operam compendi facere debebant. Non animadverterunt systema hoc anapæsticum minus regulare esse, quippe in quo præter solita metra, basin, parœmiacum, et dimetrum acatalect. sint etiam dimetri brachycatal. plurimi, quales duo primi, decimus nonus, et hicce. Ut autem hos versus digessit Triclinius, ne versus quidem sunt: *Σεμναί τε θεῶν παῖδες Ἐρινύες, Τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε.* claudicat uterque in ultimo pede, et posteriorem dehonestat cæsura. In priore scribere saltem debebat Græculus *Ἐρινύες*, unico *ν*; nam si geminetur litera, secunda syllaba corripi nequit.

118. *κἀμοί*. Minus bene vulgo *καί μοι*. [*καί μοι*. Brunckius, internecivo enclitici odio accensus, *κἀμοί*. Illud passim revocavi, non monito lectore. *Schæf.*]

121. *δυστανοτάτας*. Schol. *ἐξωλεστάτης* recte. Vide Musgravium ad Euripidis Herc. Fur. 1349.

123. *ὧδ' ἀκόρεστ'*—Neutrum plurale *ἀκορέστα* vice adverbii, ut infra 164. *ἀκάματα*. Œd. C. 1560. *ἐπίπονα*. Aj. 197. *ἀτάρβητα*, aliaque permulta quæ passim occurrunt. Elegantior lectio, quam ut librario vel Græculo cuipiam accepta referri debeat, e sincero antiquitatis fonte in unicum codicem derivata fuit. In quatuor aliis *ἀκόρετον* reperi, quod ut præ altero sordet, Aldinæ tamen lectioni *ἀκόρεστον* utique præferendum erat.

[*ἀκόρετον*. Aldus, metro reclamante, *ἀκόρεστον*. Illud est in membr. D. E. meo. Negat vocem esse Græcam Heathius, pertenditque *ἀκόρεστον* legi debere penultima vel brevi, vel pro brevi habita; utrumque falsissime. Nam *ἀκόρετος*, non minus quam *ἀκόρητος* et

Digitized by Google

τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
ματρὸς ἀλόντ' ἀπάταις Ἀγαμέμνονα,
κακᾷ τε χειρὶ πρόδοτον; ὡς
ὁ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

ΗΛ. γενέθλα γενναίων τοκέων,
ἥπερ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τι με
φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.
ἀλλ', ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,

129. Ω ΓΕΝΕΘΛΑ. *ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων.* ΟΙΔΑ ΤΕ. *οἶδα, φησὶν, ἃ πράττω, καὶ οὐ λανθάνει με, ὅτι ὑπὲρ τὸ δέον ποιῶ. ἢ οἶδα ὅτι μοι εὐνόεἶτε, ἵνα συνάπτῃ τῷ προκειμένῳ,* ΗΚΕΤ' ΕΜΩΝ ΚΑΜΑΤΩΝ ΠΑΡΑΜΥΘΙΟΝ. *ἄμεινον δὲ τὸ πρῶτον.* ΕΑΤΕ Μ' ΩΔ'. *τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.* ΛΑΤΕΙΝ *ἐν ἄλλοις δυσφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως.* Ὅμηρος· (Ὀδ. σ'. 332.)

ἦ ἀλύεις, ὅτι Ἴρον ἐνίκησας τὸν ἀλήτην.

ἀκόρεστος dici, similium vocum analogia ostendit: tum certum est, si quid aliud in re metrica et critica, vocalem ante literas στ nullum poëtam Atticum corripuisse. Verum in hoc loco facile est litem dirimere, admissa alia lectione, eaque sane quam eleganti, quam suppeditat cod. T. ubi sic in contextu liquido scriptum est, nullo diversæ lectionis apposito indicio: Τάκεις δ' ἀκόρεστ' οἰμωγάν. Esset ἀκόρεστα neutrum plurale, vice adverbii, ut infra 164. ἀκάματα, in Œd. Col. 1560. ἐπίτονα, et in Aj. 197. ἀτάρβητα. Eligant eruditi utra lectio magis placeat. Ego plurium præstantiorumque codicum fidem haud invitus sequor.]

124. τὸν Ἀγαμέμνονα. Pendet accusativus a nomine οἰμωγάν, casum verbi cognati regente. Vide ad Antig. 787. et Abreschium ad Æschylum p. 57.

129. In Aldina legitur ὦ γένεθλα γενναίων πατέρων. Vocandi adverbium ὦ, quod libri omnes agnoscunt, hic, ut infinitis aliis in locis, e glossa irrepsisse videtur. In aliis veteribus libris scriptum γένεθλα, in aliis γενέθλα, ut infra 236. In E. γέννεθλα. In T. sic versus legitur: ὦ γένεθλα γεναίων τοκέων. Voci γεναίων superscripta glossa διὰ τὸ μέτρον. Inepte. Est tamen hæc ipsissima lectio quam commendat Heathius, versumque dactylicam hephthemimerin esse ait, quod ei concedendum non est, nisi ostendat anapæstum in dactylico versu recipi. τοκέων meus exhibet in textu, et E. pro varia lectione, quam, ut magis poëticam, amplector: versumque sic lego: Γενέθλα γενναίων τοκέων. cum antistrophico congruit: Νήπιος ὅστις τῶν οἰκτρῶς. uterque dimeter est anapæsticus catalecticus, non qualis esse debet parœmiacus in regulari systemate, qui ante catalecticam syllabam anapæstum semper habet, sed quales multi reperiuntur in choricis canticis, quorum syllaba catalectica vel spondeo vel dactylo subjicitur.

131. ξυνίημι. Unicum hoc esse credo apud Sophoclem exemplum correptæ ι in verbo ἵημι, aut quoquam ejus composito. Sed idcirco suspecta non esse debet lectio, tum ob majorem in melicis licentiam, tum quia id alii Tragici sibi indulserunt etiam in senariis. Vide Æschylum S. Th. 495. Euripidem Iphig. T. 299. Hel. 1256. Sane proclive hic erat scribere: Οἶδά τε καὶ ξυνέηκα τάδ'—

Digitized by Google

ἐᾶτέ μ' ὦδ' ἀλύειν, 135
αἰ αἰ, ἰηνοῦμαι.

ΧΟ. ἀλλ' οὔ τοι τόν γ' ἐξ Ἀΐδα ἀντιστρ. α'.
παγκοίνου λίμνας κατέρ' ἀν-
στάσεις, οὔτε γόοις, οὔτε λιταῖς.
ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον 140
ἄλγος, ἀεὶ στενάχουσα διάλλυσαι.
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐ-
δεμία κακῶν,
τί μοι τῶν δυσφόρων ἐφίη;

ΗΛ. νήπιος, ὅστις τῶν οἰκτρῶς 145
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας,
ἃ Ἶτυν, αἰὲν Ἶτυν γ' ὀλοφύρεται,
ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.

137. ΑΛΛ' ΟΥ ΤΙ ΤΟΝ Γ' ΕΞ ΑΙΔΑ. Ὅμηρος· (Ἰλ. ω'. 524.)
οὐ γάρ τις πρήξις πέλεται πρηκτροῖο γόοιο.
ΠΑΓΚΟΙΝΟΥ ΛΙΜΝΑΣ. εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. ΟΥΤΕ ΓΟΟΙΣ ΟΥΤΕ ΛΙΤΑΙΣΙΝ. οὔτε ὀδυρομένῃ, οὔτε παρακαλοῦσα τοὺς θεούς. καὶ Αἰσχύλος· (Νιόβῃ.)
μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ.
μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος. ΕΦΙΗΙ, ἐπιθυμεῖς, τί μοι, φησὶ, τούτων γλίχῃ, ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνους καὶ πένθη;

147. ΑΛΛ' ΕΜΕ Γ' Α ΣΤΟΝΟΕΣΣ' ΑΡΑΡΕ. Ἀττικῶς τὸ ἄραρέ με, ἀντὶ τοῦ, ἤρεσέ μου ταῖς φρέσιν. καὶ Ἀριστοφάνης· (Βατρ. 103.) σὲ δὲ ταῦτ' ἀρέσκει; τὸ δὲ ΑΡΑΡΕ ἀντὶ τοῦ, σύμφωνα πράσσομεν ἐγὼ καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. Ἄλλως. οἷον συνήρμοσταί μου ταῖς φρεσὶ, τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἶτυν στενάζουσαν. ΑΤΤΖΟΜΕΝΑ. ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη. ΔΙΟΣ δὲ ΑΓΓΕΛΟΣ, ὅτι τὸ ἔαρ σημαίνει. Ὅμηρος· (Ὀδ. τ'. 518.)
ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρῆΐς ἀηδὼν
καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο.
ἢ ὅτι τὴν ἡμέραν σημαίνει. ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ, καὶ τὴν περιθρηλλουμένην ἀγγελίαν, καὶ τὸ πάθος. ἢ ἄγγελον εἶπεν, οἷον τέρας, τὸ παρ' αὐτῆς γιγνόμενον εἰς τερατείαν τῆς φύσεως· καὶ Σαπφώ· Ἥρος ἄγγελος ἱμερόφωνος ἀηδών. ΣΕ Δ' ΕΓΩΓΕ ΝΕΜΩ ΘΕΟΝ. ἀντὶ τοῦ, ἐν τιμῇ τῶν θεῶν μερίζω σέ. ΕΝ ΤΑΦΩ ΠΕΤΡΑΙΩ. τουτέστιν ἀπολιθωθεῖσα. καὶ Ὅμηρος· (Ἰλ. ω'. 615.)
ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνάς.

137. *οὔ τοι τὸν πατέρ' ἀνστάσεις.* Euripid. Alcest. 1007. Τόλμα δ' οὐ γὰρ ἀνα- ξεις ποτ' ἔνερθεν Κλαίων τοὺς φθιμένους ἄνω. Ex Homero sumpsit uterque, apud quem Achilles Priamo dicit Il. ω'. 550. Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἱος ἑῆος, Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα. Tædiosus essem, si Triclinii ineptias omnes memorare et refellere vellem. Codd. omnes veteres in secundo post hunc versu habent, ut Aldus, *οὔτε γόοις οὔτε λιταῖς.*

147. *ἄραρε* est aoristus secundus; nam in præterito medio secunda semper producitur.

148. *Ἶτυν γ' ὀλοφύρεται.* Omissa est in veteribus codd. particula, quam Triclinius recte ob metrum inseruit. *ἀτυζομένα.* gl. *ταραττομένη.* [Brunckius *Ἶτυν γ' ὀλοφ. Schæf.*]

Digitized by Google

ἰὼ παντλάμων Νιόβα, σὲ, σ' ἔγωγε νέμω θεὸν,
ἃ τ' ἐν τάφῳ πετραίῳ
αἰεὶ δακρύεις.

ΧΟ. οὔ τοι σοὶ μούνᾳ, τέκνον, στροφὴ Β'.
ἄχος ἐφάνη βροτῶν,
πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσὰ,
οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος,
οἷα Χρυσόθεμις
ζώει καὶ Ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ,
ὄλβιον ὃν ἀ πλεινὰ

155. ΠΕΡΙΣΣΑ. πρὸς τὸ ἄχος περισσὴ, ἀντὶ τοῦ ἄμετρος ἐν τῷ θρηνεῖν· περισσῶς, φησὶν, ὀδύρῃ παρὰ τούτους, οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις. ὅστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς, ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι. ΟΙΑ ΧΡΥΣΟΘΕΜΙΣ. ἡ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι (Ἰλ. ι'. 144.) τρεῖς τὰς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἤ, ὡς ὁ τὰ Κύπρια ποιήσας, τέσσαρας φησι. ΚΡΥΠΤΑΙ Τ' ΑΧΕΩΝ. ἡ μετοχὴ ἐστι τὸ ΑΧΕΩΝ, ἀντὶ τοῦ δυσφορῶν ἐπὶ τῷ κεκρύφθαι· ἢ ὁ ἐν ἥβῃ κρυπτῇ λυπούμενος. ΒΗΜΑΤΙ. ἀντὶ τοῦ ὁδῷ, πομπῇ.

150. *σὲ, σ' ἔγωγε νέμω θεόν.* Sic optime in membr. scriptum. Perperam vulgo *σὲ δ' ἔγωγε*— [Brunckius *σὲ, σ' ἔγωγε ν. θ.* Secutus sum cum Erfurdtio Porsonum, quem v. ad Euripid. Orest. v. 614. *Schæf.*]

152. Aldus et plerique codd. *αἳ αἳ, δακρύεις.* In meo *αἰὲν*, cum gl. *ἀεί.* Alteri lectioni in August. apposita nota *γρ. αἰέν.* Unde lego meliore sententia, *αἰεὶ δακρύεις.*

153. *οὔτοι σοι μούνᾳ.* Cicero Tuscul. iii. 33. "Ne illa quidem firmissima consolatio est, quanquam et usitata est, et sæpe prodest: *Non tibi hoc soli.*" Sane frequentissima est apud Tragicos hæc mœrentium consolatio. Euripides Med. 1016. *Οὔ τοι μόνῃ σὺ σῶν ἐκτέζυγης τέκνων.* Hippolyto 841. *Οὐ σοὶ τάδ', ὦ ναξ, ἦλθε δὴ μόνῳ κακά· Πολλῶν μὲν' ἄλλων δ' ὤλεσας κεδνὸν λέχος.* Alcestide 423. *Οὐ γάρ τι πρῶτος, οὐδὲ λοίσθιος βροτῶν, Γυναικὸς ἐσθλῆς ἡμπλακες.* Vide Valckenarii Diatr. Eurip. p. 179.

[157. *οἷα.* Sic recte Erfurdtius. Perperam vulgo *οἳα.* In Longi Pastor. p. 16. Vill. dudum notaveram corrigendum esse *οἷα δὴ κυνῶν ἐν βυνηλασίαις περιεργία*, et sic edidissem, si, quod misere distracto vix unquam datur, Adversariorum loculos per otium excutere licuisset. In Longi l. c. præterea requiro articulum *ἡ*; quem ambigo inseram post *δὴ*, an post *κυνῶν*. *Schæf.*]

160. *ὄλβιον ὃν ἀ πλεινὰ*—Vulgo legitur *ὄλβιος*, et hic versus cum tribus sequentibus Electræ partibus contribuitur perquam absurdo errore. Si enim confideret Electra fratrem suum ita reversurum, ut his versibus declaratur, non ita mœrore conficeretur, nec spem prope omnem abjiceret. Nihil magis alienum est a mente et opinione Electræ. Sunt ista revera Chori miseram virginem consolantis. Verum non ex sententia modo apparet, ineptissimam esse illam personarum divisionem, sed etiam ex eo quod totius chorici cantici œconomiæ adversatur. Quippe constat tribus strophis, totidem antistrophis, et epodo; quod neutiquam perspexit stolidus ille Triclinius, cujus de Sophoclis metris somnia pro oraculis habuit Turnebus, et qui eum secuti sant editores. Unaquæque stropha et antistropha inter Chorum et Electram ita divisa est, ut utrique personæ tot versus in stropha, quot in antistropha tribuantur. Hic in antistropha ix. postremi versus Electræ partibus cedunt,

Digitized by Google

γᾶ ποτὲ Μυκηναίων
δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν.
ΗΛ. ὃν ἔγωγ' ἀκάματα
προσμένουσ', ἄτεκνος
τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν· ὁ δὲ λάθεται
ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
ἀεὶ μὲν γὰρ ποθεῖ·
ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.
ΧΟ. θάρσει μοι, θάρσει, τέκνον. ἀντιστρ. β'.
ἔστι μέγας ἐν οὐρανῷ
Ζεὺς, ὃς ἐφορᾷ πάντα, καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα,
μήθ' οἷς ἐχθαίρεις
ὑπεράχθεο, μήτ' ἐπιλάθου.

164. ΑΚΑΜΑΤΑ. ἀκαμάτως καὶ ἀδιαλείπτως. λέγοι δ' ἂν ταῦτα ἐν ὑποκρίσει. ἢ οὐ κεκμηκότως.

166. ΟΙΧΝΩ. περιέρχομαι. ΜΥΔΑΛΕΑ. διάβροχος τοῖς δάκρυσιν. ΑΝΗΝΥΤΟΝ. ἀτελείωτον. ΩΝ Τ' ΕΠΑΘ', ΩΝ Τ' ΕΔΑΗ. ὧν ἔπαθε παρ' ἐμοῦ εὐεργεσιῶν· διέσωσε γὰρ αὐτόν. ὧν δὲ ἔδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον.

176. Ὦ ΤΟΝ ΥΠΕΡΑΛΓΗ ΧΟΛΟΝ. ᾧ τινι, τῷ Διΐ, τὸν ὑπεραλγοῦντα, τὸν ἄγαν ὀδυνηρὸν καὶ λυπηρὸν χόλον τοῖς πεπραγμένοις νέμουσα, μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς, μήτε ἐπιλάθου αὐτῶν· ἀλλὰ μέμνησο μὲν αὐτῶν· γεν-

quæ in stropha ix. versibus auctiores esse non debent. Egregia hæc restitutio acumini debetur ingeniosi mei amici Thomæ Tyrwhitti. Præterea ego non ὄλβιος, sed ὄλβιον legendum esse contendo. Felicitatis illa prædicatio non præsens tempus, sed futurum spectat. Ineptum esset ἀχέων ἐν κρυπτῷ ἦβᾳ, ὄλβιος—Qui *maret*, sane *beatus* non est: sed *quem olim beatum*—sensum diserte versio exprimit. Heathium, quid velit, nescio, ἀχέων *mœrens* præcedentibus contradicere affirmantem. Quin ἀκέων, quod reponi vult, ineptum esse judico. ἀχέων legit etiam Eustathius, qui χρῆσιν hanc, ex memoria citatam, non inspecto libro, pessime interpretatur ad Homerum p. 440. [ὄλβιος. Brunckius ὄλβιον. *Schæf.*]

174. ἔστι μέγας ἐν οὐρανῷ. Sic libri omnes recte; nec quidquam ob metrum mutandum erat: versus est iambicus, ut secundus strophæ. Pro chorio et iambo, hic est dactylus et anapæstus. In D. singulis versibus præfixa metri declaratio: huic versiculo apposita nota ἰαμβικόν. Nugatur Heathius, quum ait ἔστι præ suo ἔτι languere. Formula usitata est. Plautus Capt. ii. 2. 63. *Est profecto deus, qui, quæ nos gerimus, auditque et videt.*

Digitized by Google

χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρίσαν
βούνομον ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος,
οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.

ΗΛ. ἀλλ' ἐμὲ μὲν ὁ πολὺς
ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·
ἄτις ἄνευ τοκέων κατατάκομαι,
ἃς φίλος οὔ τις ἀνὴρ ὑπερίσταται.
ἀλλ', ἀτερεί τις ἔποικος ἀναξία,
οἰκονομῶ θαλάμους πατρὸς, ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' ἐφίσταμαι τραπέζαις.

ΧΟ. οἰκτρὰ μὲν νόστοις αὐδὰ, στροφὴ γ'.

ναίων δὲ φέρε. ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτε ἐπιλανθάνου τῆς ἔχθρας. ΧΡΟΝΟΣ ΓΑΡ ΕΥΜΑΡΗΣ. ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται· ἐνίοτε δ' οὖν μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης· ἡ εὐχερὴς ἐστιν ὁ χρόνος, ὥστε μετελθεῖν τοὺς ἀδίκους. ΚΡΙΣΑΝ. Φωκικήν. Κρίσα γὰρ πόλις Φωκίδος. ΒΟΥΝΟΜΟΝ. βοῶν θρεπτικήν. ΑΠΕΡΙΤΡΟΠΟΣ. ἀνεπίστροφος, ἀνεπέλευστος. ἔνθεν καὶ τὸ (Ἰλ. β'. 295.) περιτροπέων ἐνιαυτός. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος, οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ Φωκίδι τρέφεται, οὔτε ὁ κάτω θεός· ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται, καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος, ἐπὶ μὲν Ὀρέστου, ἀνεπέλευστος· ἐπὶ δὲ Πλούτωνος, ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν. πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον, διαφόρως νοεῖται· καὶ Ὅμηρος· (Ἰλ. λ'. 328.)

ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω.

τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν. ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου, ἀντὶ τοῦ ἔλαβον· ἐπὶ δὲ τῶν ἀνδρῶν, ἀντὶ τοῦ ἐφόνευσαν. ΟΤΘ' Ο ΠΑΡΑ ΤΟΝ ΑΧΕΡΟΝΤΑ. οὔτε ὁ Ἅιδης ἀνεπίστροφος (ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροπος) τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ ἐπιμέλειαν ποιεῖται.

184. ΑΛΛ' ΕΜΕ ΜΕΝ Ο ΠΟΛΥΣ. οἷον, τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς, καὶ ὁ πλείων με, φησὶ, βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενόμενην, ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται. ΑΞ ΦΙΛΟΣ ΟΤΤΙΣ ΑΝΗΡ. ἤτοι ἧς φίλος οὐδεὶς προΐσταται· ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι, ἢ ἐκεῖνο·

Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

ΕΠΟΙΚΟΣ. ἀντὶ τοῦ μέτοικος. ΑΝΑΞΙΑ. ἀξίαν οὐκ ἔχουσα, ἀλλὰ ἄτιμος. ΟΙΚΟΝΟΜΩ. ἀντὶ τοῦ διαιτῶμαι τοὺς πατρῴους οἴκους. ΩΔΕ ΜΕΝ ΑΕΙΚΕΙ. δεικτικῶς τὸ ΩΔΕ. ἐλεεινὸν δὲ τὸ τοιοῦτον, καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν.

193. ΟΙΚΤΡΑ ΜΕΝ ΝΟΣΤΟΙΣ ΑΥΔΑ. ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. ἀπὸ κοινοῦ δὲ τὸ ΑΥΔΑ. οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ, ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός· οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ. οἷον, οἰκτρὰ πέπονθας, καὶ ὅτε ἠκούσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δὲ, ὅτε καὶ ἡ πρᾶξις γέγονε, καὶ ἀγη-

Digitized by Google

οἰκτρὰ δ' ἐν ποίταις πατρώαις,
ὅτε σοι παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν, εἴτ' οὖν θεὸς, εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.

ΗΛ. ὦ πασᾶν κείνα πλέον ἀμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νύξ, ὦ δείπνων ἀῤῥήτων
ἔπαγλ' ἄχθη·
τοὺς ἐμοὺς ἴδε πατὴρ
θανάτους αἰπεῖς διδύμαιν χεροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν·
οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι·

ῥέθη. ΑΝΤΑΙΑ ΓΕΝΤΩΝ. ὅτε ἀνταίαν ἐπλήγη ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων. γένυς γὰρ εἶδος πελέκεως. ΔΟΛΟΣ ΗΝ Ο ΦΡΑΣΑΣ. ἀντὶ τοῦ ὁ φράσαμενος, ἐπινοησάμενος. ὁ δὲ ἀνελὼν, ἔρως· δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα. δόλος ὁ φρασάμενος τὴν ἐστίασιν, ἐν ᾗ ἀνῃρέθη. ΠΡΟΦΥΤΕΥΣΑΝΤΕΣ. προσκεφάμενοι, προκατασκευάσαντες. ΜΟΡΦΑΝ. μορφὴν, τύπον· τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν, ἣν εἰργάσατο τοῦ φόνου. ΕΙΤ' ΟΥΝ ΘΕΟΣ. πάνυ αἰδημόνως ὁ Χορὸς τὸ μὲν πρᾶγμα λέγει· τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει.

201. Ω ΠΑΣΑΝ ΚΕΙΝΑ. ὃ ἡμέρα ἐκείνη ἐλθοῦσα ἐμοὶ ἐχθίστη. ἡ μάλιστα μεμισημένη πασῶν ἡμερῶν. τὸ δὲ ΠΑΕΟΝ περισσόν. Ω ΔΕΙΠΝΩΝ ΑΡΡΗΤΩΝ. τῶν ὑπὸ Αἰγίσθου, φησὶ, τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνόμασαι καλόν. ΕΚΠΑΓΛΑ ΠΑΘΗ. μεγάλα. ΔΙΔΥΜΑΙΝ ΧΕΡΟΙΝ. τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου. ΑΙ ΤΟΝ ΕΜΟΝ ΕΙΛΟΝ ΒΙΟΝ. πάνυ περιπαθῶς. ἄπτινες χεῖρες, αἱ ἀνελοῦσα, τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον, καὶ προέδοσαν τοῖς ἐχθροῖς. ΠΟΙΝΙΜΑ. ποινῆς ἄξια. ποινὴ δὲ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων. Ὅμηρος· (Ἰλ. ι'. 628.)

καὶ μέν τίς κε κασιγνήτοιο φόνοιο
ποινὴν, ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος·

196. *γενύων.* Græcis *γένυς* dicitur cujusvis instrumenti ferrei acies. Hic et infra 485. ut Philoct. 1205. pro *securi* accipitur. Eadem tralatione *γνάθος* cuneo tribuitur ab Æschylo in Prom. 64. *σφηνὸς αὐθάδη γνάθον.* Quin etiam igni rerum omnium edaci, in Choëph. 321. *φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς ἡ μαλερὰ γνάθος.*

205. *τοὺς ἐμοὺς ἴδε πατήρ.* Sic legendum, ut versus antistrophico congruat, ὄφρα με βίος ἔχῃ. Perperam vulgo εἶδε, quod ex glossa in textum migravit.

206. *αἰκεῖς.* Sic scribi debuit ex metri lege. Perperam vulgo *ἀεικεῖς.* Tum *χειροῖν*, non *χεροῖν* legendum. Versus est anapæsticus.

210. *ποίνιμα.* gl. *ἀντάποτιν ἔχοντα.*

Digitized by Google

μηδέ ποτ' ἀγλαΐας ἀπονάιατο,
τοιάδ' ἀνύσαντες ἔργα.

ΧΟ. φράζου, μὴ πόρσω φωνεῖν. ἀντιστρ. γ'.
οὐ γνώμαν ἴσχεις, ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως ἀϊκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίπτουσ' αἰεὶ
ψυχᾷ πολέμους. τὰ δὲ, τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.

ΗΛ. δεινοῖς ἠναγκάσθην, δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ', ἐν γὰρ δεινοῖς, οὐ σχήσω
ταύτας ἄτας,

καί ῥ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ, πόλλ' ἀποτίσας,
τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
πουλὺν δεξαμένου.

211. ΑΓΛΑΙΑΣ. ἡδονῆς, δόξης.

213. ΦΡΑΖΟΥ ΜΗ ΠΟΡΣΩ ΦΩΝΕΙΝ. ὁ Χορὸς ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἀντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. ΟΥ ΓΝΩΜΑΝ ΙΣΧΕΙΣ. οὐ νοεῖς, οὐ γιγνώσκεις, φησὶν, ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας; ΟΙΚΕΙΑΣ. ἤτοι τὰς συγγενικὰς, ἢ ἀπὸ σοῦ ἐσομένας, καὶ οὐκ ἀλλαχόθεν. ΣΑΙ ΔΥΣΘΥΜΩΙ ΤΙΚΤΟΥΣ' ΑΕΙ. σαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχὴ, ὡς ἐν ἀθυμίαις αὐτῆς οὔσης. ΤΑ ΔΕ ΤΟΙΣ ΔΥΝΑΤΟΙΣ ΟΥΚ ΕΡΙΣΤΑ. τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν, ἀντὶ τοῦ, οὐχ οἷόν τε σε ἐρίζειν τοῖς δυνατοῖς. καὶ ἄλλως· ταῦτα δὲ, ἃ πράττεις, οὐκ ἐριστὰ τοῖς κρατοῦσίν ἐστι. τουτέστι, τὴν περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι, ἀσύμφορον. ΠΛΑΘΕΙΝ. πελάζειν.

222. ΕΞΟΙΔ', ΟΥ ΛΑΘΕΙ ΜΕ. τοῦτο τὸ ἔπος, φησὶν, οὐ λανθάνει με· ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον· διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν ἀναγκάζομαι καὶ ἐπι-

216. ἀϊκῶς. Perperam in libris ἀεικῶς, ut paulo ante ἀεικεῖς. Hesychius: ἄϊκῶς, αἰκιστικῶς, ὑβριστικῶς, χαλεπῶς. ἀπὸ τῆς αἰκίας.

220. οὐκ ἐριστὰ, id est οὐκ ἀξίαν ἔριν ἔχοντα. Sensus est igitur: ταῦτα δὲ οὐκ ἀξίαν ἔριν ἔχουσι, ὥστε τοῖς δυνατοῖς πλάθειν. οὐκ ἄξιόν ἐστι περὶ τούτων τοῖς δυνατοῖς ἐρίζοντα πελάζειν, seu ἐρίζειν. Ovum ovo similius non est, quam hic versus antithetico. Est uterque dimeter trochaicus brachycatal. Perinde falsi sunt Heathius et Parisinus editor: ille πελάθειν legendum censet: hic versus antispasticos esse ait. Nimirum credidit Heathius primam in πλάθειν corripi, quod et auctore Barnesio affirmat in nota ad Euripidis Rhesum 14. verum fallitur. In illo Rhesi versu, ut et in 347. 914. 923. prima producitur. Sic etiam in Antipatri Sid. Epigr. xxix. Ἀπτολέμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι τεράμνοις Πλάθειν, οὐ θρηκῶν ἐντὸς Ἐνυαλίου.

221. In Aldina et in veteribus codd. legitur: ἐν δεινοῖς ἠναγκάσθην, ἐν δεινοῖς. Geminata præpositio a mala manu est: ea sublata concinnus fit versus tetrameter dactylicus, antithetico suo par. Inepta est Triclinii interpolatio, ἐν δεινοῖς ἠναγκάσθην δή.

Digitized by Google

ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἂν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ' ἔπος;
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ', ἄνετε παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται·
οὐδέποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.
ΧΟ. ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ, ἐπῳδός.
μάτηρ ὡσεί τις πιστὰ,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ΗΛ. καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,

κινδυνώδη τινὰ φθέγγεσθαι. ΤΙΝΙ ΓΑΡ ΠΟΤΕ. παρὰ τίνος γὰρ ἂν ἀκούσομαι τὰ συμφέροντα, ἢ παρ' ὑμῶν τῶν συνοίκων; ὥστε μοι συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ, παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων. οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας. Ω ΦΙΛΙΑ ΓΕΝΕΘΛΑ. ὦ προσφιλὴς ἐμοὶ γενεά. ΤΙΝΙ ΦΡΟΝΟΥΝΤΙ ΚΑΙΡΙΑ. παρὰ τίνος φρονούντος καίρια, ἤγουν συμφέροντα. ΑΝΕΤΕ. ἐάσατε. οἷον παύσασθέ με παραμυθούμεναι, ἢ οὕτως· ὑμεῖς με παραμυθούμεναι ἄνετε, ὅ ἐστιν, ἐπιτρέπετε ὀδύρεσθαι, καὶ μὴ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. ΤΑΔΕ ΓΑΡ ΑΛΥΤΑ. τὸ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἐστὶν, ὅ ἐστιν, οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. ΑΝΑΡΙΘΜΟΣ ΩΔΕ ΘΡΗΝΩΝ. ἔν τισι κεῖται ΑΝΑΝΟΜΟΣ. οἷον ἀεὶ γενομένη ἐν αὐτοῖς, καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ ΑΝΗΡΙΘΜΟΣ, καὶ ἔστιν ὁ λόγος· οὐκ ἔσομαι ἀνήριθμος θρήνων, ἀλλ' ἐν θρήνοις ἀριθμήσομαι. ἢ οὕτως· ἀνάριθμος, οἷον οὐκ ἀριθμοῦσα τοὺς θρήνους, ἀλλὰ δαψιλέσι χρωμένη αὐτοῖς.

236. ΚΑΙ ΤΙ ΜΕΤΡΟΝ ἔχει τόδε τὸ κακὸν, ὥστε μετρίως θρηνεῖν; πρὸς γὰρ

225. ὄφρα με βίος ἔχῃ. Sic libri omnes veteres. Sane proclivius erat in strophico versu 205. ἴδε pro εἶδε reponere, quam lectionem hujusce immutare, ut fecit Triclinius, ὄφρα μ' ἔχῃ βίοτος.

226. τίνι γάρ ποτ' ἂν, ὦ φιλία γενέθλα. Sic edidit Aldus, ut scriptum est in membr. et aliis omnibus codd. veteribus. Versus est dimeter anapæsticus. Proinde in strophico 206. vere emendavimus Heathius et ego: Θανάτους ἀϊκεῖς διδύμαιν χειροῖν. Istis versiculis inauspicato medicam admovit manum Toupius ad Suidam ii. 85. qui eos indiligenter tractavit, non inspecta ulla veteri editione. Saltem pro eo, quo erat, acumine, vidit ἀϊκεῖς legendum esse. Videat jam Parisinus editor, num fallantur, qui lectionem omnium probæ notæ librorum consensu nixam Triclinii næniis præferunt. Scripserat stolidus ille Græculus: Τίνι γάρ ποτ' ἂν, ὦ φίλα γενέθλα et in strophico versu: Θανάτους ἀεικεῖς διδύμαιν χεροῖν. Novus noster Triclinius ista, tanquam si e tripode edictata fuissent, venerabundus amplectitur; nihil ex conjectura mutari vetat, et ἀεικεῖς per synizesin disyllabum esse pronuntiat. En sane dignum magistro discipulum!

227. πρόσφορον ἀκούσαιμ' ἔπος. Sic recte scriptum in membr. nonnullisque aliis, inter quos etiam est cod. a Triclinio recensitus, ita ut mendosa impressorum lectio ne illi quidem tribuenda sit. Culpa omnis in Turnebum conferenda, qui ex Aldina in suam nihil fere nisi depravationes traduxit. Ediderat Aldus, πρόσφορον ἀκοῦσαί μ' ἔπος, omni structuræ violata lege: hoc Turnebus bonæ codicis sui lectioni ἀκούσαιμ' prætulit. Poterat illud reponi e Suida etiam in καίρια.

Digitized by Google

πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις,
μήτ', εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν
γᾶ τε καὶ οὐδὲν ὢν
πείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσιν ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς, ἁπάντων τ'
εὐσεβία θνατῶν.

ΧΟ. ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα,
καὶ τοὐμὸν αὐτῆς, ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα. σοὶ γὰρ ἑψόμεσθ' ἅμα.

ΗΛ. αἰσχύνομαι μέν, ὦ γυναῖπες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.

ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων. ΚΑΚΟΤΗΤΟΣ, τῆς συνεχούσης με. ΜΗΤ' ΕΙΗΝ ΕΝΤΙΜΟΣ ΤΟΥΤΟΙΣ. τοῖς ἀμελοῦσι τῶν γονέων. μὴ εἴη μοι ταύτης τῆς τιμῆς, τὸ τοὺς γονέας μὴ μέχρι τοῦ παντὸς ὀδύρεσθαι. τουτέστι μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων. ΜΗΤ' ΕΙ ΤΩι ΠΡΟΣΚΕΙΜΑΙ ΧΡΗΣΤΩι. μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ, συνοικοίην εὔκηλος. οἷον, μηδὲ εἰ ἀγαθός τις ἐστὶν, ᾧ ἐγὼ πρόσκειμαι, μηδὲ τούτῳ συνοικοίην εὖ, ζηλοῦσα αὐτὸν καὶ ἀποδεχομένη, εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο. μήτε οὖν αὐτὴ γενοίμην, μήτε, εἰ ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη, ζηλοίην τὰ ἐκείνου, ὥστε καταφρονεῖν τῶν γονέων. ἡ οὕτως· μηδὲ εἰ συνοικοίην χρηστῷ τινὶ ἀνδρὶ, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα, καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους. ΓΟΝΕΩΝ ΕΚΤΙΜΟΥΣ. τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους, ἀντὶ τοῦ ἐκτὸς τιμῆς. ἀλλ' ἐν τῷ τιμᾷν τοὺς πατέρας εἴην ἰδία τῶν γονέων. ΠΤΕΡΥΓΑΣ δὲ ΟΞΥΤΟΝΩΝ ΓΟΩΝ εἶρηκε, διὰ τὸ ταχύ. ἅμα μὲν γὰρ τῇ μνήμῃ καὶ ὀδυρμὸς, οἰδενὸς τοῦ μεταξὺ ὄντος. ὀξυτόνους δὲ, διὰ τὸ σφοδρὸν, καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν εἰς ἄκρον ἐλθεῖν. ΕΙ ΓΑΡ—ΕΡΡΟΙ Τ' ΑΝ. ἥ τε αἰδὼς ἔρροι, καὶ ἡ περὶ πάντας εὐσέβεια, εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται.

253. τὸ ΣΥ ΝΙΚΑ πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν τῇ Ἠλέκτρᾳ, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται.

254. ΑΙΣΧΥΝΟΜΑΙ ΜΕΝ. αἰδοῦμαι, εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν, καὶ ἀπαρα-

248. δώσουσιν ἀντιφόνους δίκας. Dimeter iambicus, sic scriptus et declaratus in D. Perperam Aldus δώσουσ'—

250. εὐσεβία θνατῶν. Versus dactylicus. Si cum Aldo legas εὐσέβεια, trochaicus erit. In præc. v. τ' ἂν valet τοι ἄν.

Digitized by Google

ἀλλ', ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
ξύγγνωτε. πῶς γὰρ ἥ τις εὐγενὴς γυνὴ,
πατρῷ' ὁρῶσα πήματ', οὐ δρᾴη τάδ' ἄν,
ἀ' γὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ; 260
ἦ πρῶτα μὲν τὰ μητρὸς, ἥ μ' ἐγείνατο,
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι, κἀκ τῶνδ' ἐμοὶ
λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει. 265
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις; εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταυτὰ, καὶ παρεστίους
σπένδοντα λοιβὰς, ἔνθ' ἐκεῖνον ὤλεσεν; 270
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρὶ, μητέρ' εἰ χρεὼν

μυθήτως ἔχειν. ΑΛΛ' Η ΒΙΑ ΓΑΡ. ἐπείπερ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται.

259. Α'ΓΩ ΚΑΤ' ΗΜΑΡ. ἀναγκαίως κέχρηται τῷ νοήματι. ἐπὶ μὲν γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι, εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα. ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ, ἀλλὰ καὶ τὰ τῆς μητρὸς, καὶ τὰ Αἰγίσθου δσημέραι γιγνόμενα, εἰκότως παρατείνει καὶ τὸ πενθεῖν.

263. 'Ανιαρὸν λίαν τὸ ΕΝ ΤΟΙΣ ΕΜΑΥΤΗΣ. ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς. ΚΑΙ'Κ ΤΩΝΔ' ΑΡΧΟΜΑΙ. καὶ βασιλεύομαι ὑπ' αὐτῶν. ἔτι δὲ τοῦτο χαλεπώτερον, τὸ καὶ τούτοις ὑποτάχθαι.

267. ΟΤΑΝ ΘΡΟΝΟΙΣ ΑΙΓΙΣΘΟΝ. καὶ γὰρ μετὰ τὸ φονεῦσαι 'Αγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος· (Ὀδ. γ'. 303.)

Αἴγισθος ἐμήσατο οἶκοθι λυγρὰ,
κτείνας 'Ατρείδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.
ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο Μυκήνης.

ΦΟΡΟΥΝΤ' ΕΚΕΙΝΩΙ ΤΑΥΤΑ. οὐχ ὅμοια βασιλικὰ, ἀλλὰ τὰ ἐκείνου. πάνυ γὰρ τοῦτο περισταθὲς, καὶ ἐς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός. ΣΠΕΝΔΟΝΤΑ ΛΟΙΒΑΣ. τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς, ὅπου ἄδικος φόνος εἴργασται. ΙΔΩ ΔΕ ΤΟΥΤΩΝ. ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα· κινητικὸν δὲ πρὸς οἶκτον τὸ ΑΥΤΟΕΝΤΗΝ ΕΝ ΚΟΙΤΗι ΠΑΤΡΟΣ.

271. ΑΥΤΟΦΟΝΤΗΝ. γράφεται ΑΥΤΟΕΝΤΗΝ. τὸ δὲ ΗΜΙΝ παρέλκει 'Αττικῶς.

272. *τὸν αὐτοέντην.* Hæc lectio scholiastæ memorata, vulgatæ *αὐτοφόντην* præferri digna erat. Vide Lexicon in *Αὐθέντης.*

273. *ξὺν τῇ ταλαίνῃ μητρί.* Idem hic significat ταλαίνῃ, ac secundo abhinc versu τλήμων.

Digitized by Google

ταύτην προσαυδᾷν τῷδε συγκοιμωμένην;
ἥδ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι
ξύνεστ', Ἐριννὺν οὔ τιν' ἐκφοβουμένη·
ἀλλ', ὥσπερ ἐγγελῶσα τοῖς κτανοῦσί νιν,
εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανε,
ταύτῃ χορούς ἵστησι, καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμηνʼ ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην,
αὐτὴ πρὸς αὑτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ', ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα, τοιάδ' ἐξονειδίζει κακά·
Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔ τις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο, μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.—
τάδ' ἐξυβρίζει. πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντʼ Ὀρέστην, τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστᾶσ'· Οὐ σύ μοι τῶνδʼ αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον, ἤ τις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;

275. ΤΛΗΜΩΝ. τολμηρὰ, ἀναιδής. ΕΤΡΟΤΣ' ΕΚΕΙΝΗΝ ΗΜΕΡΑΝ. τὸ ΕΤΡΟΤΣΑ τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει, οἷον ἡδέως αὐτὴν θεωμένη. οἱ Ἀργολικοὶ συγγραφεῖς τρισκαιδεκάτην εἶναί φασι μηνὸς Γαμηλιῶνος, ὃς Δειπίας ἐν ἑβδόμῳ Ἀργολικῶν.

283. ΚΩΚΤΩ. δακρύω. ΕΠΩΝΟΜΑΣΜΕΝΗΝ. ἐφ' ᾧ ὠνομάσθη. ΟΞΟΝ ΜΟΙ ΘΥΜΟΣ. ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος·

Οἵ τοι στεναγμοὶ τῶν πόνων ἐρείσματα.

287. ΓΕΝΝΑΙΑ. εὐγενὴς λόγοις καὶ οὐ πράξεσιν.

289. Ω ΔΥΣΘΕΟΝ. καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ. δύσθεον δὲ, ἀσεβές. ΠΑΤΗΡ ΤΕΘΝΗΚΕΝ. οὐκ ἀνηρέθη φησὶν, ἀλλὰ τέθνηκε, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.

[275. ἡ δ'. Vulgo ἥδ'. *Schæf.*]
278. *τότε, olim.* Vide notam ad Comici Lysistr. 1023.
281. ἔμμην' ἱερὰ, sacra quæ singulis mensibus fiunt, κατὰ μῆνα, ut Suidas recte exponit. At perperam glossa ἐτήσια θύματα. Hesychius: ἐμμήνιοι, αἱ κατὰ μῆνα γινόμεναι θυσίαι.

Digitized by Google

ἀλλ' ἴσθι σοι τίσουσά γ' ἀξίαν δίκην.—
τοιαῦθ' ὑλακτεῖ· ξὺν δ' ἀστερώπει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας πρισσύμενος.
ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
παυστῆρ' ἐφήξειν, ἢ πέλαιν' ἀπόλλυμαι.
μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς οὔσας τ' ἐμοῦ
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἐν τοῖς κακοῖς
πολλή γ' ἀνάγκη κἀπιτηδεύειν κακά.

ΧΟ. φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;

ΗΛ. ἦ πάρτα. μὴ δόκει μ' ἂν, εἴπερ ἦν πέλας,
θυραῖον οἰκγεῖν· νῦν δ' ἀγροῖσι συγχάνει.

ΧΟ. ἦ καὶ ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἵκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.

ΗΛ. ὡς νῦν ἀπόντος, ἴσθ' ὅτι τί σοι φίλον.

ΧΟ. καὶ δή σ' ἐρωτῶ, τοῦ κασιγνήτου τί φῄς·
ἥξοντος, ἢ μέλλοντος; εἰδέναι θέλω.

299. ΤΑΛΑΣΤΕΙ. ἀμαυρῶς καὶ ἀναιδῶς βοᾷ, ὡς κύων. Ο ΚΛΕΙΝΟΣ. κατὰ εἰρωνείαν. ΣΥΝ ΓΥΝΑΙΞΙ. συνεργούσης γὰρ Κλυταιμνήστρας ἀκεῖλε τὸν Ἀγαμέμνονα. Ὅμηρος· (Ὀδ. ω'. 97.)

Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο.

303. ΤΩΝΔΕ ΠΡΟΣΜΕΝΟΥΣ' ΑΕΙ. γράφονται,

Ἐγὼ δ' Ὀρέστην προσμένουσ' ἀεὶ ποτε.

305. ΤΑΣ ΟΥΣΑΣ. τὰς παρούσας. ΕΝ ΟΥΝ ΤΟΙΟΥΤΟΙΣ. θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται, ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινὰ πράσσουσι, καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται.

310. ΦΕΡ' ΕΙΠΕ. ἐπεὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα κέχρηται, ὁ Χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι, ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος.

312. Η ΚΑΡΤΑ. ἐν ἤθει· οἷον, πολλοῦ γε δεῖ. ΜΗ ΔΟΚΕΙ. ἀντὶ τοῦ ἡγοῦ. δαιμονίως φκονόμηται τοῦτο πρὸς τὴν χάρωσιν Κλυταιμνήστρας. τὸ δὲ εἰργασθαι ἐξόδαν, περισσῶς μὲν πρὸς τὴν μείρακα, χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν.

317. ΤΟΥ ΚΑΣΙΓΝΗΤΟΥ. λείπει ἡ περί. ΜΕΛΛΟΝΤΟΣ. βραδύνοντος.

301. ἡ πᾶσα βλάβη. Eadem locutio est in Philoct. 662. Sic ibidem 927. πᾶν δεῖμα.

309. πολλή γ' ἀνάγκη. Sic in E. At in membr. in quatuor aliis veteribus, et in Triclinii recensione πολλή τ' ἀνάγκη, cum particulæ declaratione τοι.

Digitized by Google

ΗΛ. φησίν γε· φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.
ΧΟ. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
ΗΛ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
ΧΟ. θάρσει· πέφυκεν ἐσθλὸς, ὥστ' ἀρκεῖν φίλοις.
ΗΛ. πέποιθ', ἐπεί τ' ἂν οὐ μακρὰν ἔζων ἐγώ.
ΧΟ. μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

ΧΡΥΣΟΘΕΜΙΣ.

τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν;
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καί τοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥστ' ἂν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾷν τι, πημαίνειν δὲ μή.
τοιαῦτα δ' ἀλλὰ καὶ σὲ βούλομαι ποιεῖν.
καί τοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,

320. δύναται τὸ ΟΚΝΕΙΝ Ὁμηρικῶς εἰρῆσθαι, ἀντὶ τοῦ φοβεῖσθαι (Ἰλ. ε'. 255.)

Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν ὠκειάων.

ΠΡΑΣΣΩΝ. ἐπιχειρῶν πράσσειν.

323. ΕΠΕΙ Τ' ΑΝ. ἐπεί τοι ἄν.

324. ΜΗ ΝΥΝ ΕΤ' ΕΙΠΗΙΣ. οὐχ ὡς τῆς Χρυσοθέμιδος τἀναντία φρονούσης τῇ Ἠλέκτρᾳ. ἀλλ' ἐπειδὴ ὁρῶσιν ἐναγίσματα βαστάζουσαν, τοῦτο πρῶτον πυθέσθαι βουλόμεναι, κωλύουσιν αὐτὴν τῶν ἑξῆς λόγων.

326. ΤΙΝ' ΑΥ ΣΥ ΤΗΝΔΕ. τὸ ἑξῆς· τίνα φάτιν φωνεῖς; ἐπίτηδες δὲ τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξε, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιῤῥήσεσι τὰ δράματα.

335. ΥΦΕΙΜΕΝΗ. μὴ ὅλον τὸ ἱστίον ἀναπετασάσῃ. ἀπὸ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχοντες, ὑφιᾶσι τῶν ἱστίων. Εἰς τὸ αὐτό. ὑφήσειν τὸ ἱστίον, οἷον συστέλλεν τὸ φρόνημα, καὶ μὴ ἀντικρὺς μάχεσθαι, οἱονεὶ τῇ προαιρέσει χρῶμαι. ΤΟ ΜΕΝ ΔΙΚΑΙΟΝ. ὁ νοῦς· τί ὄφελος τῆς δικαιοσύνης, εἴ τις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ;

322. ἀρκεῖν, ἐπαρκεῖν. Sic in Œd. κεῖ, βοηθεῖ.
Col. 262. Hesychius: ἀρκεῖ, προσαρ-

Digitized by Google

ἀλλ' ἦ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
ΗΛ. δεινόν γέ σ' οὖσαν πατρὸς, οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα
κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἐπεί θ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἢ τις λέγεις μὲν ἀρτίως, ὡς εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐπτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μὲν, οἶδ'· ἐπαρκούντως δ' ἐμοί.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω, καὶ περιῤῥείτω βίος.

342. ΜΕΛΕΙΝ. φροντίζειν. ΤΑ'ΜΑ ΝΟΥΘΕΤΗΜΑΤΑ. οἷον, ἃ εἶπες ἐμὲ νουθετοῦσα. ταῦτα ὁποῖά ἐστι τὰ ἐπὶ τῇ Ἀντιγόνῃ, ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ, καὶ φησιν αὐτῇ τὰ Κρέοντος φρονεῖν. ΕΠΕΙ Θ' ΕΛΟΥ ΓΕ. ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς, προστιθεμένην τοῖς ἐχθροῖς· ἢ φρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν. οἷον θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἐκοῦσα ἁμαρτάνεις, καὶ παροράς. τὸ δὲ ΘΑΤΕΡΑ ἀντὶ τοῦ θάτερον Ἀττικῶς εἴρηται.

348. ΤΟ ΤΟΥΤΩΝ ΜΙΣΟΣ. λείπει ἡ κατά. ΤΗΝ ΤΕ ΔΡΩΣΑΝ. ἀντὶ τοῦ ἐμέ. ΕΚΤΡΕΠΕΙΣ. ἢ ἐκ ἀντὶ τῆς ἀπό. ἀποτρέπεις.

354. ΚΑΚΩΣ ΜΕΝ ΟΙΔΑ. κακῶς μὲν ζῶ· ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς τοῦτο πράττω· οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν. ΛΥΠΩ ΔΕ ΤΟΥΤΟΥΣ. διὰ τὸ τιμᾶν τὸν πατέρα.

345. ἐπεί θ'—Id est ἐπεί τοι. Perperam in Aldina ἔπειθ', quod valet ἔπειτα.—θάτερ'. Sic Aldus et veteres libri, id est θάτερα, Attice, ut πότερα pro πότερον. Triclinius imperite supposuit θάτερον. Scilicet anapaestum in pari sede tragici senarii non reformidabat.

Digitized by Google

ἐμοὶ γὰρ ἔστω τοὐμέ νιν λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σὺ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανεῖ πλείστοις κακὴ,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟ. μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν. ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὖτη πάλιν.
ΧΡ. ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· κοὐδ' ἂν ἐμνήσθην ποτὲ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛ. φέρ', εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδ' ἐμοὶ

363. ΕΜΟΙ ΓΑΡ ΕΣΤΩ. *ἐμοὶ, φησὶν, ἔστω τροφὴ, ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα, καὶ τὴν πείνην ἀπελαύνουσα. οὐ δέομαι γὰρ τοιαύτης τροφῆς, ἀφ' ἧς ἡδονὴν σχήσω. ἢ οὕτως· τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτὴν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι.* ΟΤΑ' ΑΝ ΣΥ ΣΩΦΡΩΝ. *οὐδὲ σὺ, εἰ ἐσωφρόνεις, ἀβρῶς ἂν ἔζης ἠμεληκυῖα τοῦ πατρός.* ΚΑΛΟΥ. *ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.*

370. ΕΙ ΣΥ ΜΕΝ ΜΑΘΟΙΣ. *εἰ συγκεράσετε τοὺς τρόπους, εὖ ἂν ἔχοι. ἡ μὲν γὰρ αὐστηρὰ, ἡ δὲ ἀνειμένη.*

372. ΗΘΑΣ ΕΙΜΙ. *ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί.* ΤΩΝ ΤΗΣΔΕ ΜΥΘΩΝ. *τῶν παρὰ ταύτης λεγομένων μύθων.* ΜΑΚΡΩΝ. *μεγάλων, ἢ πολυχρονίων.* ΣΧΗΣΕΙ. *ἐφέξει, κωλύσει.* ΓΟΩΝ. *γράφεται καὶ* ΛΟΓΩΝ.

363. Vulgo legitur: *Ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον* Βόσκημα. Qua in lectione nullus inest sensus. Nam inde is elici non potest quem *percommodum* expressisse sibi videtur Heathius hac versione: *Id enim solum mihi pro cibo sit, ut ne me ipsa angam.* Sententia satis inepta Græce sic exprimi debuisset, *ἐμοὶ γὰρ ἔστω μόνον βόσκημα, τὸ ἐμὲ μὴ λυπεῖσθαι*, vel *τὸ ἐμὲ μὴ λυπεῖν ἐμαυτήν.* Verbo activo *λυπεῖν* subjici debet persona in quam cadit actio, quæ nisi expressa sit, tota phrasis nihil aliud quam griphus est. Heathio placet *ἐμαυτὴν* subintelligere: at secus videbatur auctori glossæ in codd. superscriptæ verbo *λυπεῖν*, *τὸν θανόντα πατέρα.* Quis dijudicabit, uter verius poëtæ mentem assecutus sit? Perinde fallitur uterque. Haud temere eruditi viri lectionem hanc mendosam esse judicarunt, sed quod reponendum esse conjecerunt *τοὐμὲ μὴ λιπεῖν*, vel *μὴ ἄλλιπεῖν*, nimis abjectum est, et ab Electræ magnanimitate alienum. Unica vocula mutata sententiam restituimus: *Ἐμοὶ γὰρ ἔστω τοὐμέ νιν λυπεῖν μόνον* Βόσκημα, *id enim solum mihi pro cibo sit, quod eos angam.* Dixerat paulo supra *λυπῶ δὲ τούτους.* nec quidquam aliud cupit, quam ut pergere possit eis molesta esse.

364. *τιμῆς τυχεῖν.* In C. E. August. *λαχεῖν.* Hæc verba sæpe commutantur. Sane *λαχεῖν* cum genitivo construitur, idque fere ellipsi nominis *μέρος*· rarius, ubi nec hoc nomen, nec ullum aliud subintelligi potest, ut Œd. Col. 450. *Ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου.* Sed plerumque cum accusativo construitur hoc verbum. Proinde *τυχεῖν* hic prætuli, et ex hoc loco in Antig. 699. edidi: *Οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς τυχεῖν*;

Digitized by Google

μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡ. ἀλλ' ἐξερῶ σοι πᾶν, ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν, ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει· ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς, ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου, κἀμὲ μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;
ΧΡ. μάλισθ'· ὅταν περ οἰκαδ' Αἴγισθος μόλῃ.
ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡ. τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛ. ἐλθεῖν ἐπεῖνον, εἴ τι τῶνδε δρᾷν νοεῖ.
ΧΡ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφύγω.
ΧΡ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛ. καλὸς γὰρ οὗμὸς βίοτος, ὥστε θαυμάσαι.
ΧΡ. ἀλλ' ἦν ἂν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.

381. ΚΑΤΗΡΕΦΕΙ. κατεσκεπασμένῃ, σκοτεινῇ. ΕΝ ΚΑΛΩι. ἐγκαιρων. νῦν, φησιν, εὔκαιρόν ἐστι καλῶς φρονῆσαι.
387. ΑΛΛ' ΕΞΙΚΟΙΤΟ. ἁρμόζει μάλιστα τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.
391. ΑΦ' ΥΜΩΝ. πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτοῖς συγκαταλέγει, ὡς τῶν αὐτῶν αἱρουμένην.
393. ΚΑΛΟΣ ΓΑΡ. εἰρωνεύεται ἐν ἤθει.

378. ἐξερῶ σοι. Sic bene Aldus, unico adstipulante codice. In aliis τοι cum superscripta glossa σοι. Si genuinum esset τοι, pro δὴ accipi deberet: nam Doricum pronomen τοι Atticis poëtis inusitatum est. Hæ voculæ sæpissime permutantur, quod contigisse videbimus infra v. 871.

379. εἰ μὴ λήξεις. Sic codd. omnes, etiam Triclinianus; perperam in impressis λήξοις.

381. προσόψει. Eustathius p. 1839. ubi de adverbiis ἐνταυθοῖ, ἐνταῦθα disserit, hunc locum citans κατόψει legit.

382. ὑμνήσεις κακά. gl. θρηνήσεις τὰς δυστυχίας. Eustathius p. 634. τὸ ὑμνεῖν φαύλως ἐκλαμβάνεται ποτὲ κατὰ βαρεῖαν ἀντίφρασιν. Σοφοκλῆς· ὑμνήσεις κακά· ἤγουν ὑβρίσεις. καὶ ἐν Οἰδίποδι τῷ τυράννῳ (1275.) τοιαῦτ' ἐφυμνῶν· ἤγουν δυσφημῶν. Αἰσχύλος (S. Th. 7.) ὑμνεῖται ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις. Εὐριπίδης (Med. 425.) τὴν ἐμὴν ὑμνεῦσαι ἀπιστοσύνην· ἤγουν κακολογοῦσαι. καὶ, ἐπεὶ ἀντάχησαν ὕμνοι· αἱ κατὰ τῶν ἀῤῥένων ὕβρεις δηλαδή. Ultima χρῆσις ex eodem chorico cantico in Medea petita, ubi legitur ἐπεὶ ἀντάχησ' ἂν ὕμνον ἀρσένων γέννᾳ.

385. δή με. Sic codd. omnes veteres. In impressis μοι, ut est in Triclinii recensione. Imperite sane mutata fuit prior lectio, sublata Attica elegantia. Comicus Vesp. 696. Ταυτί με ποιοῦσ', οἴμοι τί λέγεις; Κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς. Pro δή in Triclinii recensione est γὰρ, quod in E. a secunda manu in locum alius particulæ erasæ substitutum.

Digitized by Google

ΗΛ. μή μ' ἐπῴδασπε τοῖς φίλοις εἶναι κακήν.
ΧΡ. ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκάθειν.
ΗΛ. σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡ. καλόν γε μέν τοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ. πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι.
ΧΡ. πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡ. σὺ δ' οὐχὶ πείσει καὶ ξυναινέσεις ἐμοί;
ΗΛ. οὐ δῆτα. μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡ. χωρήσομαί τ' ἄρ', οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛ. ποῖ δ' ἐμπορεύῃ; τῷ φέρεις τάδ' ἔμπυρα;
ΧΡ. μήτηρ μέ πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛ. πῶς εἶπας; ἢ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡ. ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡ. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛ. ὦ θεοὶ πατρῷοι, ξυγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἄν τότε.
ΧΡ. ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν φράσαι.

401. ΤΑΤΤ' ΕΞΤΙ ΤΑ'ΠΗ. *κακῶν ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη.*
403. ΝΟΤ ΚΕΝΗ. *ἀντὶ τοῦ συνέσεως κούφη.*
411. ΣΥΓΓΕΝΕΣΘΕ. *συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν. ἀκούσασα δὲ, ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ* Κλυταιμνήστρᾳ *γέγονε, θαρσεῖ καὶ ἐπικαλεῖται τοὺς θεοὺς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παραστάναι.*
414. ΠΛΗΝ ΕΠΙ ΣΜΙΚΡΟΝ. *ἀντὶ τοῦ πλὴν ὀλίγων.*

399. *πατρὶ τιμωρούμενοι.* Sic Aldus et codd. omnes, etiam Triclinianus. Turnebus, quem deinceps alii secuti sunt editores, priorem lectionem mutavit, quam scilicet solœcam arbitratus est, et quia mulier loquitur, reposuit *τιμωρούμεναι*. Imperite. Mulier si de se loquens verbo plurali indocitur, pronomen vel participium plurale semper masculino genere ponitur. Vide notam ad Antig. 926.

405. *ἐμπορεύῃ.* Perperam Aldus, ut in codice meo scriptum est, *ἐκπορεύῃ*. Vide ad Œd. T. 456. *ἔμπυρα*. Suidas: *τὰ καιόμενα ἱερεῖα*. Nempe Chrysothemin sequebantur famuli omnia ad sacrificium necessaria ferentes, et inter alia victimas, quales defunctorum manibus mactari solebant, quasque moris erat ad tumulum cremare. Rogata Chrysothemis *cui victimas illas ferat*, respondet *a matre se missam ut patris tumulo infundat libamina*. Nempe libatio sine victima fieri non poterat, siquidem in inferiis sanguine libare mos erat. Virgilius Æn. iii. 66. *Inferimus tepido spumantia cymbia lacte, Sanguinis et sacri pateras.* Æn. v. 77. *Hic duo rite mero libans carchesia Baccho Fundit humi, duo lacte novo, duo sanguine sacro.* Inde liquet perperam in glossa *τάδ' ἔμπυρα* exponi *ταύτας τὰς σπονδάς*.

Digitized by Google

ΗΛ. λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς.
ΧΡ. λόγος τις αὐτὴν ἐστιν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὐφόρει ποτὲ
αὐτὸς, τανῦν δ' Αἴγισθος· ἔκ τε τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλὸν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ' Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου χάριν.
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
ἐμοὶ πιθέσθαι, μηδ' ἀβουλίᾳ πεσεῖν.
εἰ γάρ μ' ἀπώσει, ξὺν κακῷ μέτει πάλιν.
ΗΛ. ἀλλ', ὦ φίλη, τούτων μὲν, ὧν ἔχεις χεροῖν,
τύμβῳ προσάψῃς μηδέν. οὐ γάρ σοι θέμις,
οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ', οὐδὲ λουτρὰ προσφέρειν πατρί.
ἀλλ' ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει

418. ΔΕΥΤΕΡΑΝ ΟΜΙΛΙΑΝ. ὡς αὖθις αὐτοῦ ἀναζήσαντος καὶ προσομιλήσαντος. ΕΦΕΣΤΙΟΝ. ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέστιν ἐπ' οἶκον. ΗΝΙΧ' ΗΛΙΩι. τοῖς γὰρ παλαιοῖς ἔθος ἦν, ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα. ΗΛΙΩι. ἀντὶ τοῦ ἡμέρᾳ. ἥκουσα, φησὶ, τοῦ ὀνείρου, ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ἐμοί. ΕΙ ΓΑΡ Μ' ΑΠΩΣΗι. εἰ γὰρ νῦν, φησὶ, δεομένην σου ἀπώσῃ με, κακοῦ σοι τινὸς γενομένου, μετὰ ταῦτα αὐτὴ μετελεύσῃ με, καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι.

432. ΟΥ ΓΑΡ ΣΟΙ ΘΕΜΙΣ. ἵνα μὴ ἀποτρέψῃ, εἴ τι κακὸν μέλλει γενέσθαι ἀπὸ

424. ἡλίῳ δείκνυσι τοὔναρ. Iphigenia in Tauris apud Euripidem 43. Ἃ καινὰ δ' ἥκει νὺξ φέρουσα φάσματα, Λέξω πρὸς αἰθέρ', εἴ τι δὴ τόδ' ἔστ' ἄκος. Medeæ nutrix apud eumdem v. 56. Ὥσθ' ἡμερὸς μ' ὑπῆλθε γῆ τε κοὐρανῷ Λέξαι, μολοῦσαν δεῦρο, Μηδείας τύχας. Plautus Mercatoris initio: *Non ego idem facio, ut alios in comœdiis Vidi facere amatores, qui aut nocti, aut dii, Aut soli, aut lunæ miserias narrant suas. Quos pol ego credo humanas querimonias Non tanti facere, quid velint, quod non velint.*

427. πέμπει μ' ἐκείνη. Sic liquido scriptum in C. D. T. meo. Minus bene ceteri et Aldus πέμπει με κείνη. Verum ista absque codicis auctoritate emendari debent.

428. Ab hoc versu incipit Electræ ῥῆσις in Aldina et codd. aliquot, librarii manifesto errore.

434. λουτρὰ, *libamina*, ut supra 84. ubi perspicuum est eadem significatione

Digitized by Google

κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ', ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθων κάτω.
ἀρχὴν δ' ἂν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε:
σκέψαι γὰρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενὴς,
ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρᾳ

τῶν ὀνείρων. ΕΤΝΗΝ δὲ, νῦν τὸν τάφον. ΕΙ ΜΗ ΤΑΗΜΟΝΕΣΤΑΤΗ. καθόλου φησὶν εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἄν ποτε ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τοῦ πατρὸς, ὃν αὐτὴ ἀνεῖλεν. εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι λυσιτελοῦντι πράττειν, ᾧ μὴ ὑπουργήσῃς σύ.

445. ΕΜΑΣΧΑΛΙΣΘΗ. ὑπὸ τὰς μασχάλας ἔλαβε τὰ ἄκρα, ἀντὶ τοῦ ἠκρωτηρι-

usurpari qua λοιβαὶ in v. 52. Huc pertinet Hesychii glossa: *χθόνια λουτρὰ, τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐκόμιζον γὰρ ἐπὶ τοὺς τάφους λουτρά.* Proprie indigetantur hac appellatione aquæ libationes. Dioscorides Epigr. xxxvi. *Ἀλλὰ περιστείλας με δίδου χθονί· μηδ' ἐπὶ νεκρῷ Λουτρὰ χέῃς· σέβομαι, δέσποτα, καὶ ποτάμους.* Vide Meursii libellum de Funere cap. xiv.

435. ἀλλ' ἢ πνοαῖσιν. Haud quidquam ineptius est Britannorum conjecturis *ποαῖσιν*, vel *ῥοαῖσιν*. Vide quæ notavimus ad Œd. T. 271. Aj. 1035. maxime vero Orvillium ad Charitonem p. 398. ubi egregie de hac structura disputat, qua binis substantivis verbum unum elegantissime subjungitur, quod alterutri vix, ac ne vix quidem, seorsum applicari possit, multaque ex utriusque linguæ scriptoribus exempla profert, ab imperitis hominibus temere damnata vel solicitata. Duo tantum promam. Virgil. Æn. xii. 187. *Ipse Quirinali lituo, parvaque sedebat Succinctus trabea.* Lituo *succinctus* non erat; sed *instructus, insignis.* Formam de qua agimus ibi observarunt Burmannus et Heynius. Confer Davisium ad Ciceronem de Finibus ii. 27. Pindarus Pyth. iv. 184. *εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς, οὔτε ἔργον, οὔτ' ἔπος εὐτράπελον κείνοισιν εἰπών.* Ubi nomini *ἔργον* verbum *εἰπών* non aptatur, sed extrinsecus arcessitur commodum *ποιήσας*, vel simile.

438. σωζέσθων. Sic in meo. Ceteri omnes, ut impressi, *σωζέσθω*. Illud prætuli tum euphoniæ gratia, tum ob Atticam formam, de qua vide ad Aj. 100. Optimi scriptores quandoque neutra pluralia cum verbis pluralibus construunt.

442. αὐτῇ jungendum, non cum σοὶ, sed cum δέξασθαι, ut sit δέξασθαι αὐτῇ pro δέξασθαι ἀπ' αὐτῆς. Pronomini σοὶ superscripta glossa τινί. Bene. Secunda persona pro tertia incerta et indefinita. Vide not. ad Trach. 2. Neutiquam vero necesse est δέξεσθαι contra librorum omnium fidem legere. Vide quæ notavimus ad Æschyli Persas 738. et ad Euripidis Phœnissas 899.

443. γέρα, ultima longa, non ob metri necessitatem, ut falso tradit auctor glossæ in veteri cod. *μακρὸν, διὰ τὸ μέτρον*, verum ob contractionem ex *γέραα*. Vide quæ notavimus ad Euripidis Bacchas 921. Sic plurale *τέρα* apud Apollonium Argon. iv. 1410.

445. ἐπὶ λουτροῖσιν. gl. ἐπὶ καθάρσει.—κάρᾳ dativus est. ὑφ' ἧς θανὼν ἐμασχαλίσθη, καὶ τῇ ἑαυτοῦ κεφαλῇ ἐξέμαξε τὰς κηλῖδας αὐτῆς. Vel, si mavis, κἀπὶ λουτροῖσιν ἐκείνη τὰς κηλῖδας τῇ κεφαλῇ αὐτοῦ ἐξέμαξεν. Prior ratio magis placet, juxta quam utriusque verbi idem nominativus est.

Digitized by Google

κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
ἃ ἔχω, δὸς αὐτῷ τήνδε λιπαρῆ τρίχα,

ἄσθη. ἢ ἐπεὶ εἰώθεσαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. τὸ δὲ ΕΞΕΜΑΞΕΝ ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας, καὶ τὸ κάρα αὐτοῦ τὰς κηλίδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν. οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον, ἐπεί φησιν ἐκεῖνος· (Ὀδ. δ'. 535.)

Δειπνίσσας, ὥς τις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.

ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι. τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτοι τῆς ὑποθέσεως. Ἄλλως. εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον, ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποταμνόμενοι, καὶ περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείροντες, διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν ἐς ὕστερον τὶ δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα, ὃ καὶ μασχαλισθῆναι ἔλεγον. Ἄλλως. ΚΗΛΙΔΑΣ ΕΞΕΜΑΞΕΝ. ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλίδας, ἢ τῇ τοῦ φονευομένου, ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλίδας ἀποτρεπόμενοι. Ἄλλως. ἐπὶ ταῖς καθάρσεσι, τῶν φονευθέντων τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὰς μασχάλας αὐτοῦ ἐκρέμαζον αὐτὰ, ἵνα, φασὶν, ἀσθενὴς γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος· (Ἀργον. δ'. 477.) ἐξάργματα τάμνε θανόντος. ὁ Ἰάσων τοῦ Ἀψύρτου.

448. ΤΑΥΤΑ ΜΕΝ ΜΕΘΕΣ. προοικονομικῶς ἀποστέλλει αὐτὴν εἰς τὸν τάφον, ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.

451. ΑΛΙΠΑΡΗ ΤΡΙΧΑ. περιπαθῶς μὲν τὸ τῆς πενίας. τὸ δὲ ΑΛΙΠΑΡΗ, ἀντὶ τοῦ αὐχμηράν. ἐν δὲ τῷ ὑπομνήματι ΑΙΠΑΡΗ, ὅ ἐστιν ἐξ ἧς αὐτὸν λιπαρήσομεν,

[446. ἆρα μὴ δοκεῖς—. Optime habet. Verte: *Du glaubst doch nicht*—. Xenophon Anab. vii. 6. 5. Ἆρ' οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν ἐναντιώσεται περὶ τῆς ἀπαγωγῆς; Plutarchus Vit. Alex. c. 30. T. iv. p. 72. Reisk. ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, κ. τ. λ. Lucianus T. iii. p. 366. ἆρα μὴ οἱ ἰδιῶται αὖθις ἐπιβεβουλεύκασί σοι, κ. τ. λ. Conf. Buttmann. Ind. ad Platon. Dial. iv. v. Ἆρα, et Hermann. ad Sophocl. Antig. v. 628. in edit. min. Erfurdt. *Schaef.*]

451. τήνδε λιπαρῆ τρίχα, id est τήνδε ἱκέτιν τρίχα. Sic omnino legendum, ut ex veterum criticorum commentariis, quorum meminit Scholiastes, olim lectitatum fuisse constat. Hoc jam olim reposuissem nisi vulgatæ lectioni τήνδ' ἀλιπαρῆ gravis Hesychii auctoritas patrocinari mihi visa fuisset, in glossa, ἀλιπαρῆ, αὐχμηρὰν, quæ procul dubio huc spectat; verum deceptus et ipse fuit Hesychius menda quæ antiquitus inolevit. τήνδ' ἀλιπαρῆ per metrum stare non potest. Si τήνδε γ' ἀλιπαρῆ scripsisset poëta, quæ Heathii conjectura est, id multo minus facile depravatum fuisset, quam proclive fuit ex τήνδε λιπαρῆ, facere τήνδ' ἀλιπαρῆ. Causa autem mutationis fuit, quia imperitus librarius λιπαρῆ accepit pro λιπαρὰν, *nitidam*, cujus contrarium quum videret prorsus requiri, barbaram vocem excudit ἀλιπαρῆ. Nec λιπαρὴς, nec ἀλιπαρὴς pro *nitidus* et *sordidus*, Græca vocabula sunt. Græcum est λιπαρὸς, prima semper brevi: ἀλίπαρος caret auctoritate; nescio an exstet uspiam. ἀλιπαρὴς, ut dicebam, plane barbarum est, et e Græcis lexicis in posterum, me auctore, eximetur. In λιπαρὴς, λιπαρεῖν prima semper producitur. λιπαρὴς et λιπαρὸς, quæ forma parumper differunt, sed prosodia et significatione permultum, alibi confundi observavimus. Vide notam ad Comici Lys. 673.

Digitized by Google

καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπιτνοῦσα, γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν·
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδὶ,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν, ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα.
ὅμως δ', ἀδελφὴ, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.
ΧΟ. πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δὲ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
ΧΡ. δράσω. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾷν.

ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα. ΚΑΙ ΖΩΜΑ ΤΟ'ΤΜΟΝ. σύμφωνον τοῦτο τῷ, (190.) ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ. ΖΩΜΑ δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα, ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας. δίδωσι γὰρ τὸ ζῶμα ἀντὶ τῆς ταινίας. ΕΞ ΤΠΕΡΤΕΡΑΣ. ἀντὶ τοῦ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος. ΚΟΙΝΩι ΠΑΤΡΙ. τῷ σῷ καὶ ἐμῷ.

466. ΤΟ ΓΑΡ ΔΙΚΑΙΟΝ ΟΥΚ ΕΧΕΙ ΛΟΓΟΝ. οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν. δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τὸ ΟΥΚ ΕΧΕΙ ΛΟΓΟΝ ἀντὶ τοῦ, οὐ παρέχει πρόφασιν. Ἄλλως. οὐ δισταγμοῦ, φησὶ, καὶ ἀμφιβολίας προσδεῖται τοῖς δύο, πότερον δεῖ τούτων ποιεῖν

Similis menda sublata fuit in Luciani libello Ῥητόρων διδάσκαλος, cap. 9. ubi barbarum illud τὸ ἀλιπαρὲς inficete vertebatur *squalorem*: nunc vero legitur τὸ λιπαρὲς, quod ibi significat *assiduitatem*. λιπαρὴς θρὶξ, hic dicitur, ut infra, 1378. λιπαρὴς χεὶρ, *supplex manus*. λιπαρεῖν τινα, *supplicare*. Vide Æschylum Prom. 1012. cujus locum protulimus ad Comici Acharn. 452.

457. ἀφνεωτέραις. In D. ἀφναιωτέραις, mendose pro ἀφνειοτέραις. Librario obversabatur usitatior forma ἀφνειός. Sed et altera proba est, quod ex hoc loco Eustathius observat ad Homerum p. 623. Ὅτι δὲ ὁ ἀφνειὸς δύναται καὶ ἀφνεὸς λέγεσθαι, δῆλον ἐκ τοῦ Χερσὶν ἀφνεωτέραις παρὰ Σοφοκλεῖ. οὕτω δὲ καὶ ὁ θειότερος, θεώτερος ἐν τῷ περιηγητῇ.

462. ἐμοί τ' ἀρωγά. Sic Aldus et codd. omnes veteres. Triclinius inepte κἀμοί τ', quod illi Turnebus relinquere debebat.

464. πρὸς εὐσέβειαν, *pie*. Sic Lucianus in Toxaride πρὸς ἀχθηδόνα, *moleste*. Plutarchus in Coriolano πρὸς ὕβριν, *contumeliose*.

467. ἐπισπεύδειν. Sic Tragici exemplaria omnia. Apud Stobæum in sermone *de Veritate* legitur etiam in codd. ἐπισπεύδει perperam. Hunc locum Toupius ad Suidam ii. 133. ridicule vertit, constructione sic ordinata: τὸ γὰρ δυοῖν ἐρίζειν οὐκ ἔχει δίκαιον λόγον. Mira sane phrasis, longeque impeditior ea, unde Henr. Stephanus tam ægre se extricat in Philocteta v. 1140. Tales in senariis verborum trajectiones nuspiam occurrunt. Optime

Digitized by Google

πειρωμένη δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΧΟΡΟΣ.

Εἰ μὴ 'γὼ παράφρων στροφή.
μάντις ἔφυν, καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα
χεροῖν κράτη· μέτεισιν, ὦ
τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θάρσος,
ἀδυπνόων κλύουσαν

* θράσος ed. 1. 2.

ἢ προαιρεῖσθαι. ΣΙΓΗ ΠΑΡ' ΥΜΩΝ. εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν Χορόν. ΠΕΙΡΑΝ ΤΗΝΔΕ. ἀντὶ τοῦ, τὴν ἐπιχείρησιν.

472. ΠΑΡΑΦΡΩΝ. ἀνόητος. ὁ Χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος, θαρρεῖν παραινεῖ τὴν Ἠλέκτραν. Α ΠΡΟΜΑΝΤΙΣ ΔΙΚΑ. ἡ προμαντευομένη τὰ μέλλοντα, ἢ τοῖς συνετοῖς προγιγνωσκομένη. μέτεισι, φησὶ, παρέχουσα τούτοις δύ-

sensum et structuram declaravit Grammaticus antiquus: *τὸ γὰρ δίκαιον οὐ παρέχει ἀπολογίαν δυοῖν ὥστε ἐρίζειν, ἀλλὰ παρέχει δηλονότι ὥστε σπεύδειν ἐπὶ τὸ δρᾶν.*

[471. *τήνδε* Erfurdtio cur displicuerit, non perspicio. Ajac. v. 289. s. *τί τήνδ'—ἐφορμᾷς πεῖραν. Schæf.*]

[478. *οὐ μακροῦ χρόνου.* Minus recte Scholiastes. Est *intra breve tempus.* Plato Phædr. p. 258. ed. Heind. *οὐκ ἀφικνεῖται ἐτῶν μυρίων.* Xenophon Anab. i, 7, 18. *οὐ μαχεῖται δέκα ἡμερῶν. Schæf.*]

479. *ὕπεστί μοι θάρσος.* Sic codd. omnes veteres et Aldus. Triclinius perperam *θράσος* supposuit, quod metri lex minime requirebat. Differunt *θράσος* et *θάρσος*, *audacia* et *confidentia.* Quæ nomina etsi perpaucis exemplis ostendi possit a Poëtis promiscue adhibita fuisse, quemadmodum in Philoct. 104. *θράσος* pro *θάρσος* accipiendum, nulla tamen hic erat causa cur vox signatior ejiceretur.

480. *κλύουσαν.* Sic Aldus et codd. omnes, præter antiquissimum, in quo *κλυούσα* librarii errore. Si quis malare magna mactari non reformidat, tædium subeat legendi Parisini editoris notam ad hunc locum, unde nihil aliud reportabit, quam Th. Johnsoni conjecturam, multis obrutam nugis, *κλυούσᾳ.* Illam in Tragicorum lectione multo tritior utroque flocci non existimat Heathius, nec ego pluris facio. Immo perplacet mihi, sic formas poëtici sermonis variari per *ἀκαταλληλίαν*, unde nulla oritur obscuritas. Schema est, quod vocant *σολοικοφανὲς*, quo constructio ad intellectum, non ad verba refertur. Hic verbale positum est pro verbo: *ὕπεστί μοι θαρσεῖν ἀδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων.* Vel subintelligitur verbum e proximo nomine arcessendum: *ὕπεστί μοι θάρσος, ὥστε*

Digitized by Google

ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ Φόσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαίτὰ χαλκόπληκτος
ἀμφάκης γένυς, 485
ἅ νιν κατέκτεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.
ἦξει καὶ πολύπους ἀντιστρ.
καὶ πολύχειρ, ἁ δεινοῖς

νυμιν, ὡς χειρώσασθαι τοὺς ἐχθρούς. ΟΥ ΓΑΡ ΠΟΤ' ΑΜΝΗΣΤΕΙ. *οὐ γὰρ ἀμνημονεῖ, φησὶ, τῶν τολμηθέντων καθ' ἑαυτοῦ ὁ βασιλεύς· ἀλλ' ἐκτελεύσεται κατὰ τῶν ἐχθρῶν.* ΟΤΑΔ' Α ΠΑΛΑΙΑ. *ἀπὸ κοινοῦ τὸ* ΑΜΝΗΣΤΕΙ. *οὐδ' ἀμνημονεῖ, φησὶν, ἡ χαλκόπληκτος γένυς, ἡ ἑλοῦσα αὐτόν. ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἦξει κατὰ τῶν δρασάντων.* ΓΕΝΥΣ δὲ, εἶδος τελέκεως.

488. ΗΞΕΙ. *ἡ Ἐρινὺς, ἡ ἐκείνῳ τῷ φόνῳ ἀκολουθήσασα. οὕτως ἐν τῷ ὑπομνήματι.* ΠΟΛΥΠΟΥΣ. *ἐν ὑπερβολῇ τοῦτο εἴρηκεν. ἐν δὲ τῷ ὑπομνήματι κεῖται*

θησεῖν ἐμὲ κλύουσαν—Simile est in Euripidis Medea 813. —*σοὶ δὲ συγγνώμη λέγειν Τάδ' ἔστι, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.* Ibi si legeretur, ut nihil vetabat poetam scribere, —*σοὶ δὲ συγγνώμη λέγων Τῶνδ' ἔστι, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.* geminum gemellum exemplum esset. Nihil frequentius ista casuum enallage, cujus venustas librariorum libidini sæpe fuit obnoxia; at multis in locis nullo pacto obliterari potuit. In Antig. 1001. legitur, *Ἀγνὼν' ἀκούω φθόγγον ὀρνίθων, κακῷ Κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ.* Quis illic offendere possit? usitata tamen syntaxis flagitat *κλαζόντων*, quod nullus dubito quin a quopiam librario suppositum fuisset, ni metri lex manifesto obstitisset. In Euripidis Iphig. T. 954. scripserat Tragicus: *Ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μέν μ' οὐδεὶς ξένων Ἐκὼν ἐδέξατ' ὡς θεοῖς στυγούμενον.* Imperitæ librarii curæ debetur vulgata lectio, *ἐλθόντα δ' ἐκεῖσε.* Variatur constructio, quæ frequentius per genitivum absolutum fieri solet; participiumque quod hoc casu ponendum erat, casu vel recto, vel quarto effertur. Ibi *ἐλθὼν δ' ἐκεῖσε* est pro *ἐλθόντος δ' ἐμοῦ ἐκεῖσε.* In Œd. Col. 1120. *τέκνα φανέντ' ἔλεπτα*, est pro *τέκνων φανέντων ἐλέπτεα.* Et sic facile expeditur difficultas in Æschyli loco Choëph. 406. quem post Pauwium temere solicitat, et pejus adhuc corrumpit idem Sophoclis Parisinus editor: *Πέπαλται δ' αὖτ' ἐμοὶ φίλον κέαρ Τόνδε κλύουσαν οἶκτον.* quem ad hunc modum resolvas: *κλυούσης δ' ἐμοῦ τόνδ' οἶκτον, πέπαλται αὐτέ μοι φίλον κέαρ.* Parum sibi constabat Heathius idem alio in loco damnans, in alio probans. *κλύουσαν* apud Sophoclem defendit, apud Æschylum mutari vult in *κλύουσα*: haud tamen ita absurda ratione, qua participium hoc femininum Parisinus Professor cum *φίλον κέαρ* connectit; sed id pro nominativo absoluto habet, hancque emendationem metrica lege confirmari arbitratur. Verum usquequaque falsus est. Nec structuræ, nec metri ratione quidquam mutandum est: versus est choriambicus, ut duo sequentes.

[482. *οὐ γάρ ποτ'—γ'.* Adde hoc illis quæ nuper congessi ad Theocriti Idyll. i. 68. Infra v. 1020. *οὐ γὰρ δὴ—γ'. Schæf.*]

[484. *χαλκόπλακτος.* Vulgo *χαλκόπληκτος. Schæf.*]

485. *ἀμφάκη.* Dorismum invitis libris restitui. Huc respexit Hesychius in mutila glossa *Ἀμφακῆς*, quæ sic scribi debuit: *ἀμφάκης γένυς, ἀξίνη.*

488. *ἦξει καὶ πολύπους.* Sic Aldus et codd. omnes veteres. Inepte Triclinius particulam δὲ infersit, quam Heathio fraudi fuit, de hujus versiculi

Digitized by Google

κρυπτομένα λόγοις, 490
χαλκόπους Ἐριννύς.
ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα
μιαιφόνων γάμων ἀμιλ-
λήμαθ', οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ' ἔχει, 495
μήποτε, μήποθ' ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν. ἦ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις, 500
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκ-
τὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἀ πρόσθεν ἐπῳδός, 505
πολύπονος ἱππεία,

ΠΟΛΥΠΑΙΣ. ἐπεὶ γὰρ, φησὶν, ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ ΠΟΛΥΠΑΙΣ ἐν ὑπερβολῇ ἔθηκεν, ἡ πολλὰ κακὰ τίκτουσα. ΧΑΛΚΟΠΟΥΣ. ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

492. ΑΛΕΚΤΡ' ΑΝΥΜΦΑ. δύσλεκτρα καὶ κακόνυμφα, ἀντὶ τοῦ, μὴ νενομισμένα, ἀλλὰ παράνομα διὰ τὴν μοιχείαν. ΕΠΕΒΑ. ἤτοι ἐπὶ τῆς Ἐριννύος ἐστὶν ὁ λόγος. ἐπέβη γὰρ ἐπὶ ἀμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα· ἐπέβη δὲ τούτοις, οἷς οὐ θέμις. οὐδ οὐκ ἐχρῆν, εἰς γάμον ἤγαγεν ἡ Ἐριννὺς, διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον· τὸ δὲ ΟΙΣΙΝ ΟΥ ΘΕΜΙΣ ἐπὶ τῶν γάμων. φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα, οἷς οὐκ ἔπρεπε.

495. ΠΡΟ ΤΩΝΔΕ ΤΟΙ Μ' ΕΧΕΙ. τὸ ΤΟΙ σύνδεσμος παραπληρωματικός. λείπει δὲ τὸ ἐλπὶς, ἡ θάρσος με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων, Αἴγισθόν φησι καὶ Κλυταιμνήστραν, τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν. ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικόν. Ἄλλως. θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν, αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. ΤΟΙΣ ΔΡΩΣΙ ΚΑΙ ΣΥΝΔΡΩΣΙΝ. ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος, καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις. ΤΕΡΑΣ. τὸ τοῦ ὀνείρου τέρας λέγει. ΕΝ ΔΕΙΝΟΙΣ ΟΝΕΙΡΟΙΣ. τοῖς ἐκφοβοῦσι τοὺς ὁρῶντας, ὅταν ὦσι δεινοί. ΘΕΣΦΑΤΟΙΣ. τοῖς τῶν ὀνείρων. ΕΥ ΚΑΤΑΣΧΗΣΕΙ. οὐ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ.

504. Ω ΠΕΛΟΠΟΣ. οἷον ἦν καὶ τὸ πρῶτον· (10.)

Πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε.

φησὶ δὲ Φερεκύδης, ὅτι Πέλοψ νικήσας τὸν ἀγῶνα, καὶ λαβὼν τὴν Ἱπποδαμείαν, ὑπέστρεψεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου· καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν, ἔβριψεν εἰς θάλασσαν. ΠΟΛΥΠΟΝΟΣ ΙΠΠΕΙΑ. πολύπονος γενομένη πᾶσιν Ἀργείοις. καὶ ἑρμηνεύει

metro disputanti. Est revera, ut strophicus, choriambicus incipiens a spondeo.

495. πρὸ τῶνδε. Heathius legendum censet πρὸς τῶνδε. Miror eum ignorasse πρὸ sæpe idem valere ac ὑπέρ.

Digitized by Google

ὡς ἴμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρύσων δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθεὶς,
οὔ τις πω
ἔλειπεν ἐκ τοῦδ' οἴκου
πολύπονος αἰκία.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἀνειμένη μὲν, ὡς ἔοικας, αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ', ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε. καί τοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας, ὡς θρασεῖα, καὶ πέρα δίκης
ἄρχω καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γὰρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεὶ,

αὐτὸ, λέγων· Ὡς ἴμολες αἰανὴ τᾷδε γᾷ. ΑΙΑΝΗ δὲ, θρηνητικὴ, ὁ γίνεται ἐκ τοῦ αἲ. ΕΥΤΕ ΓΑΡ Ο ΠΟΝΤΙΣΘΕΙΣ. ὁ νοῦς τοιοῦτός ἐστιν· ἀφ' οὗ ὁ Μυρτίλος ἀπέθανεν, οὐ διέλιπεν αἰκία τοὺς πολυκτήμονας δόμους. ὁ γὰρ Ἑρμῆς, πατὴρ Μυρτίλου, ἐμήνισε τοῖς Πελοπίδαις. ΑΙΚΙΑΙΣ. αἰκισμοῖς, ὕβρεσι. ΠΡΟΡΡΙΖΟΣ. ἀντὶ τοῦ παντάπασι.

516. ΑΝΕΙΜΕΝΗ. ἄνεσιν ἔχουσα. πανταχόθεν δὲ διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής. ΑΙΣΧΥΝΕΙΝ. ἀντὶ τοῦ, καθ' ἡμῶν λέγειν.

522. ἄρχω καθυβρίζουσα. Distinctio inter duas voces poni non debuit: est enim pro ἄρχω ὕβρεως. ἄρχειν hic valet προκατάρχειν, ut apud Homerum, ἐγὼ δ' ἦρχον χαλεπαίνων, id est Eustathio interprete p. 241. προκατῆρξα τοῦ χαλεπαίνειν. τὸ δὲ τοιοῦτον ἀρχεῖν, καὶ κατάρχειν λέγεται παρὰ τοῖς ὕστερον καὶ ὑπάρχειν, ἐξ οὗ καὶ ἡ ὑπαρχή. καὶ Ὅμηρος μὲν μετοχῇ αὐτὸ συνέταξεν· οἱ δὲ μεθ' Ὅμηρον, καὶ γενικῇ αὐτὸ συντάσσουσιν, οἷον ἄρχω ἀπειλῆς ἢ μάχης. ἔστι δ' ὅτε παθητικῶς προφέροντες, καὶ αἰτιατικὴν ποιοῦσιν ἐν αὐτῷ σύνταξιν, οἷον καὶ τὸ Κατάρχομαι νόμον βακχεῖον. Hæc χρῆσις sumpta ex Euripidis Hec. 681. Sic infra 252. ἄρξασά τι λυπηρόν.

525. πατὴρ γὰρ—*Hæc longe a vulgatis diverso sensu accipio*, ait Parisinus editor, et ideo accipit pessimum in modum, quem non fert sermonis

Digitized by Google

ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἶλεν, οὐκ ἐγὼ μόνη,
ἥ χρῆν σ' ἀρήγειν. εἰ φρονοῦσ' ἐτύγχανες·
ἐπεὶ πατὴρ οὗτος σὸς, ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον παμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥστερ ἡ τίκτουσ' ἐγώ.
εἶεν· δίδαξον δή με τοῦ χάριν τίνων
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἑρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τὴν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω; κτανὼν
τἄμ', οὐκ ἔμελλε τῶνδ' ἐμοὶ δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῇσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;
ἢ τῶν ἐμῶν Ἄιδης τιν' ἵμερον τέκνων,

526. ΕΞ ΕΜΟΥ. ΚΑΛΩΣ. Ὑβριν ῥητορικῆς τὸ μὴ ἀρνεῖσθαι μὲν, τιθανὴν δὲ τῶν δεδραμένων ἐκεισφέρειν αἰτίαν. οὐχ ὡς δίκαιᾳ δὲ πραττούσης συνηγορεῖ ἡ ποιητὴς, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.

539. ΠΑΙΔΕΣ ΔΙΠΛΟΙ. Ἑρμιόνη καὶ Νικόστρατος. λαμβάνονταί τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν· ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν. οὗτος δὲ διπλοῦς ἁμαμητρίους φησὶν αὐτῷ γεγονέναι. ὅμως συμφωνεῖ τῷ Ἡσιόδῳ λέγοντι·

ἡ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ·
ἀπλόστατον δ' ἔτεκε Νικόστρατον, ὄζον Ἄρηος.

οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν, ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων, ἅπερ παρατηρεῖν ἐχρῆν. ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερε τῷ λόγῳ τῆς Κλυταιμνήστρας.

542. Η ΤΩΝ ΕΜΩΝ ΑΙΔΗΣ. τὸ ἐξῆς· ἢ τῶν ἐμῶν τέκνων ἅδαισθαι πλέον

indoles. Ex præcedentibus quædam repetenda sunt: καὶ γὰρ πρὸς σοῦ κλύω, ὡς πατὴρ τέθνηκεν ἐξ ἐμοῦ. ἐξ ἐμοῦ· καλῶς ἔξοιδα. In parenthesi sunt verba οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεί.

528. Scatet ineptissimis interpolationibus Triclinii recensio. Hic legere ei placuit εἶλε, κοὐκ ἐγὼ—Quinto post versu pro ἡ τίκτουσ', quæ codd. omnium lectio est, supposuit ἡ τεκοῦσ', spreta temporum ratione. ὥσπερ ἡ τίκτουσ' ἐγὼ νulet ὥσπερ ἐγὼ, ὅτε ἔτικτον.

[532. s. οὐκ ἴσον ἐμοὶ, ὥσπερ ἡ τίκτουσ' ἐγώ. Constructio satis insolens. Ex regula scripturus erat: ἐμοὶ τῇ τικτούσῃ. *Schaef.*]

534. Perperam in Aldina τοῦ, χάριν τίνος—In Triclinii recensione τοῦ, χάριν τίνων. Turnebus absque ullo commodo distinctionem mutavit, τοῦ χάριν, τίνων—Perperam uterque τίνων accepit pro genitivo plurali, quum sit participium.

537. ἀντ' ἀδελφοῦ. Sic libri omnes recte, *fratris vice*. Temere Heathius mutat in αὐταδέλφου.

Digitized by Google

ἢ τῶν ἐκείνης, ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεῳ δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γ' ἔμ', ὡς ἄρξασά τι
λυπηρὸν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἦν ἐφῇς μοι, τοῦ θανόντος γ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.

ΚΛ. καὶ μὴν ἐφίημ'· εἰ δ' ἔμ' ὧδ' ἀεὶ λόγοις
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

ΗΛ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι

ἡμαρόν τινα Ἅιδης ἔσχεν, ἢ τῶν ἐκείνης; ΠΑΡΕΙΤΟ. ἠμελεῖτο, παρῳρεῖτο.

550. ΔΥΣΘΥΜΟΣ. κακόβουλος. ΓΝΩΜΗΝ ΔΙΚΑΙΑΝ. οἷον λογισμῷ χρησαμένη δικαίῳ, τότε δηλονότι ΤΟΤΕ ΠΕΛΑΣ ΨΕΓΕ, ἡμᾶς, μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. τινὲς ΤΟΤΕ ΠΕΛΑΣ τοὺς περὶ Ἀγαμέμνονα ἔγνωσαν.

552. ΕΡΕΙΣ ΜΕΝ ΟΥΧΙ ΝΥΝ. οὐκ ἂν εἴποις ὡς λυπήσασά με τοιαῦτα ἀντακήκοας. ἐμοῦ γὰρ εἰκούσης οὐδὲν, σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας.

556. ΕΙ ΔΕ Μ' ΩΔ' ΑΕΙ ΛΟΓΟΙΣ. εἰ πρὸ τῶν λόγων ἐπυνθάνου, εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά.

558. ΠΑΤΕΡΑ ΦΗΙΣ ΚΤΕΙΝΑΙ. ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴ γε δικαίως· δεύτερον ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ. δείκνυσι δὲ, ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσε

[543. δαίσασθαι. i. e. ὥστε δαίσασθαι. Euripides Hippol. v. 1385. s. Br. ἀμφιτόμου λόγχας ἔραμαι Διαμοιρᾶσαι. ad q. l. nuper hæc notavi: "i. e. ὥστε διαμοιρᾶσαι. V. Porson. ad Euripid. Med. v. 1396. Homer. Hymn. in Cerer. v. 281. s. οὐδέ τι παιδὸς Μήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι. Herodotus i. c. 35. καθαρσίου ἐδέετο κυρῆσαι. c. 59. ἐδέετό τε τοῦ δήμου φυλακῆς τινος πρὸς αὐτοῦ κυρῆσαι. Conf. Wyttenbach. ad Herodot. in Select. p. 345. Dionysius Hal. Antiquit. Rom. v. c. 65. καὶ τἆλλα, ὅσων ἐδέοντο Τυρρηνοὶ παρασχεῖν. Ælianus Var. Hist. i. c. 8. οὐ γάρ οἱ χωρεῖ περιλαβεῖν τοσοῦτον τὸ στόμα, ὅσον ὁ κάλαμος διείργει. quod Perizonius recte intellexit." Schæf.]

546. κακοῦ γνώμην. Sic libri omnes. Glossa in plurimis codd. κακοτρόπου, quod olim perperam in textum intuli.

544. τοῦ τεθνηκότος γ' ὕπερ. Sic Aldina et plerique veteres codd. In meo neutra particula comparet. Pro γε in Triclinii recensione est τε.

557. λυπηρὰ κλύειν. Eadem structura ac οἰκτρὰ βόσκειν in Philoct. 1167.

Digitized by Google

ὡς οὐ δίκη γ' ἔκτεινας· ἀλλά σ' ἔσπασε
πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ ταννῦν ξύνει.
ἱροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινῆς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ γὰ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν. 565
πατήρ ποθ' οὑμὸς, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς,
ἐκπομπάσας, ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη 570
κατεῖχ' Ἀχαιοὺς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὐτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ, κἀντιβὰς, μόλις 575
ἔθυσεν αὐτὴν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σὸν, κεῖνον θέλων
ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τούτου θανεῖν
χρὴν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς, 580
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.

τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι. ΩΣ ΟΥ ΔΙΚΗι Γ' ΕΚΤΕΙΝΑΣ. ἐναντίον τῷ. (528.) ἡ γὰρ δίκη νιν εἶλε. ΕΣΠΑΣΕ. παρήγαγε, παρέπεισεν. Ωι ΤΑΝΤΗ ΞΥΝΕΙ. αὕτη γὰρ ἀπόδειξις, οὐ διὰ τὴν θυγατέρα, ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν.

568. ΤΙΝΟΣ ΠΟΙΝΗΣ. λείπει ἡ διά.

567. ΕΞΕΚΙΝΗΣΕΝ. ἐξεδίωξεν.

575. ΑΝΤΙΒΑΣ. ἀντιπαραττόμενος, καὶ μὴ βουλόμενος. διὰ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως.

577. ΕΙ Δ' ΟΥΝ. πιθανῶς κατασκευάζει, ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου

567. *ἐξεκίνησεν*. Heathius legendum censet *ἐξενίκησεν*, quod quidem August. cod. solus exhibet, sed librarii errore. Ceteri omnes codd. et Scholiastes vulgatum tuentur, quod probum est.

571. *ὡς* perperam Johnsonus vertit *donec*, qua potestate hæc particula ab Atticis nunquam adhibetur.

575. *μόλις*. In D. *μόγις*. Significatione differre hæc adverbia tradunt cum alii Grammatici, tum Thomas Mag. Sed nugantur. Promiscue adhibentur et confunduntur passim. Vide ad Thucydidem p. 470. n. 85.

581. In Aldina hic et tertio post versu excusum *τίθῃς*. In aliquot veteribus libris scriptum *τίθῃς*, quod neutiquam solœcum est. Nam *μὴ* cum indicativo construitur. Exemplis quæ protuli ad Comici Nubes 493. adde Euripidem Iphig. A. 1545. Ione 1545. In D. subjunctivus est *τιθῇς*, quod ob usitatiorem structuram præferri debet.

Digitized by Google

εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα, μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου ταφὴν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς
καὶ ξὺν εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ', ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι, τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἰεῖς γλῶσσαν, ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν,
ἣ μητέρ' οὐκ ἔλασσον, εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγών,
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακὴν,

ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομεθετεῖς. ΠΡΩΤΗ ΘΑΝΟΙΣ ΑΝ. ἀντὶ τοῦ Ἀγαμέμνονος. ΑΛΛ' ΕΙΣΟΡΑ. ὅρα, φησὶ, μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ τὴν πρόφασιν.

595. ΟΥΔΕ ΝΟΥΘΕΤΕΙΝ ΕΞΕΣΤΙ ΣΕ. ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένη αὐτῆς, κἀκείνην ἐκμειλισσομένη φησὶν, ὅτι οὐδὲ νουθετεῖν σε δεῖ· χαλεπαίνεις γὰρ, ὡς λοιδορουμένη. τὸν ἔλεγχον οὖν νουθεσίαν ὠνόμασεν.

588. εἰ δίκης γε τυγχάνοις. Sic recte Turnebus edidit. Codd. omnes et Aldus habent τυγχάνεις, solœce: vide quæ notavimus ad Comici Plutum 1037. Aberravit librarii oculus ad finem tertii exinde versus, ubi rectum est τυγχάνεις.

596. ἰεῖς. Aldus et plerique veteres codd: ἴεις. Ceteri ἴης. Vide ad Œd. T. 628. [ἴης. Brunckius, ut solet, ἰεῖς. V. Porson. ad Euripid. Orest. v. 141. *Schæf.*]

600. τοῦ τε συννόμου. In duobus codd. nota non melioris ξυννόμου.

Digitized by Google

εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ τέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
ΧΟ. ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ 610
ξύνεστι, τοῦδε φροντίδ' οὐκ ἔτ' εἰσορῶ.
ΚΛ. ποίας δ' ἐμοὶ δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,
καὶ ταῦτα τηλικοῦτος; ἆρ' οὖ σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ; 615
ΗΛ. εὖ νῦν ἐτίστω τῶνδ' ἐμ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὅθ' οὕνεκα
ἔξωρα πράσσω, πούκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια, καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ. 620
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
ΚΛ. ὦ θρασεμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ;

608. ΕΙ ΓΑΡ ΠΕΦΥΚΑ. εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδὴς, ὡς σὺ φῂς, οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία σοι φανήσομαι. ζηλῶ σε, φησὶν ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτω κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ.

610. ΟΡΩ ΜΕΝΟΣ ΠΝΕΟΥΣΑΝ. ὁ Χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησίν· Ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, τούτου τοῦ μένους φροντίδα οὐκ ἔτι ὁρῶ γιγνομένην ὑπό τινος. εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν. ἀντιλαμβανομένη οὖν ἐκείνη τοῦ λόγου, φησὶν· Ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος; ΟΥΚ ΕΤ' ΕΙΣΟΡΩ. ἀντὶ τοῦ οὐκ ἐνοῶ.

614. ΚΑΙ ΤΑΥΤΑ ΤΗΛΙΚΟΥΤΟΣ. ὑπὲρ ἐπιτάσεως· ὅτι εἰ καὶ δοίη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταύτῃ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ. ΑΙΣΧΥΝΗΣ ΑΤΕΡ. ἀντὶ τοῦ ἀναισχύντως.

618. ΕΞΩΡΑ ΠΡΑΣΣΩ. κφέρω, φησὶν, αἰσθάνομαι ἐπονειδιστα πράσσουσα, καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν. ΕΞΑΝΑΓΚΑΖΕΙ ΜΕ. ἐμφατικώτερον τὸ ΕΞΑΝΑΓΚΑΖΕΙ. διὰ τῆς προθέσεως.

622. Η Σ' ΕΓΩ ΚΑΙ ΤΑ'Μ' ΕΠΗ. ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν, ταῦτά φησιν ἡ Κλυταιμνήστρα.

609. Homerus in Odysseæ fine: μή τι καταισχύνειν πατέρων γένος. ubi hæc observat Eustathius: Ὅτι καταισχύνει τις γένος, ὅτε κατ' ἀρετὴν ἀνόμοιος τοῖς προγόνοις ἐκβαίνει. ἐντεῦθεν τὸ τραγικὸν ἐῤῥέθη ἀντιστρόφως κατά τι σκῶμμα, Εἰ γὰρ τέφυκα τῶνδε τῶν κακῶν ἴδρις, Σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν. ὡς γὰρ ταῖς ἐκβὰς ἀγαθὸς οὐ καταισχύνει ἀγαθοὺς γονεῖς, οὕτως οὐδὲ τοὺς φαύλους, παῖς κακῶν ἴδρις κατ' ἐκείνους γενόμενος.

614. καὶ ταῦτα τηλικοῦτος. Johnsonus vertit, *idque tantula ætate*. Inepte, si quid recte judico. Electra xxv, annos ad minimum nata erat. τηλικοῦτος vox media est, et tam de majore, quam de minore ætate dicitur.

[622. 3. Vulgo habent pro interrogatione. *Schæf.*]

Digitized by Google

ΗΛ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.
ΚΛ. ἀλλ', οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εἴτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛ. ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ'· οὐδ' ἐπίστασαι κλύειν.
ΚΛ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛ. ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛ. ἔπαιρε δὴ σὺ θύμαθ', ἡ παροῦσά μοι,
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μοῦ βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς, παρούσης τῆσδε πλησίας ἐμοί·
μὴ ξὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὦδ' ἄκουε. τῆδε γὰρ κἀγὼ φράσω.
εἰ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα

627. ΕΤΤ' ΑΝ ΑΙΓΙΣΘΟΣ ΜΟΛΗι. πιθανῶς ἐπὶ τῶν ἀγρῶν ἔφη τὸν Αἴγισθον, ὑπὲρ τοῦ παρῆσίαν δοθῆναι τῇ κόρῃ.

628. ΟΡΑΙΣ. οὐκ ἐμμένεις οἷς πρότερον εἶπας. ἔφη γάρ· (556.) Καὶ μὴν ἐφίημι.

632. ΕΩ, ΚΕΛΕΥΩ. δεῖ γὰρ προκόπτειν τὴν ὑπόθεσιν· διὸ οὐ ποιεῖται πλείονας ἀντιῤῥήσεις. πιθανῶς δέ· οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον.

634. ΕΠΑΙΡΕ ΔΗ ΣΥ. πρὸς θεράπαινάν φησι. ΘΥΜΑΤΑ. θυμιάματα. ΠΑΓΚΑΡΠΑ. ἐπίπαν ὥσπερια ἔθυον τοῖς θεοῖς. ΠΡΟΣΤΑΤΗΡΙΕ. ὅτι πρὸ τῶν θυρῶν ἵδρυται. ΒΑΞΙΝ. λόγον. ΟΥ ΓΑΡ ΕΝ ΦΙΛΟΙΣ. οὐκ εἰς τὸν Χορὸν ἀποτείνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν.

642. τὸ ΜΑΤΑΙΑΝ οὐκ ἔστι ψευδῆ, ἀλλ' ἀνωφελῆ. τί γὰρ πράξει, τοὺς κρατοῦντας διαβάλλουσα. ΜΑΤΑΙΑΝ γοῦν κενὴν λέγει, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι. ΩΔ' ΑΚΟΥΕ. οὕτως ἐμοῦ λεγούσης. ΤΗΙΔΕ ΓΑΡ. ἀντὶ τοῦ, τούτῳ τῷ τρόπῳ.

628. μεθεῖσα. In C. παρεῖσα. gl. ἐνδοῦσα.

636. δειμάτων ἂν νῦν ἔχω. Sic Aldus et codd. omnes veteres præter C. in quo ἃ pro ἂν, quod et Triclinius prætulit. Supra 431. ἂν ἔχεις. 763. ἂν ὅπως', metri lex ne mutarentur obstitit. Vide quæ notavimus ad Comici Vespas 907.

Digitized by Google

διττῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα·
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
καὶ μή, με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῆς.
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,
δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν,
εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων,
δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα·
τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.

ΠΑΙ. ξεναὶ γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς,

645. ΔΙΣΣΩΝ ΟΝΕΙΡΩΝ. ἡ διπλῆν ἐχόντων φύσιν, ὡς καὶ Ὅμηρος· (Ὀδ. τ'. 562.)

Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.

δύναται δὲ τὸ ΔΙΣΣΩΝ καὶ ἀριθμὸν ἐμφαίνειν, ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης, καὶ τὸ μὲν ἐν φάσμα ἡγησαμένης εἶναι, ὑπὲρ οὗ καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν Χρυσόθεμιν· τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ Ἀπόλλωνι, ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα, οὐδὲ πρὸς τὸν Ἀπόλλωνα. ἢ ΔΙΣΣΩΝ ΟΝΕΙΡΩΝ, τῶν ἀμφιβόλων καὶ δισσοποιῶν. ἔλυσε δὲ αὐτὸ, εἰποῦσα·

εἰ μὲν πέφυκεν ἐσθλά, δὸς τελεσφόρα·
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.

652. ΦΙΛΟΙΣΙ ΤΕ. τὸ ὅλον ὑπὲρ τοῦ Αἰγίσθου εὔχεται. διὰ δὲ τοῦ πληθυντικοῦ, τοῦ ΦΙΛΟΙΣΙ, τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν. ΚΑΙ ΤΕΚΝΩΝ. ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ ΟΙΣ ΞΥΝΕΙΜΙ ΝΥΝ ἀπὸ κοινοῦ λαμβανόμενον· φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν. τὸ δὲ ΔΥΣΝΟΙΑ, ἀπ' αὐτῶν εἰς ἐμὲ, ἢ ἀπ' ἐμοῦ εἰς αὐτούς. ΕΥΗΜΕΡΟΥΣΑΝ. ἑκάστην ἡμέραν εὖ διάγουσαν.

657. ΤΑ Δ' ΑΛΛΑ ΠΑΝΤΑ. τὰ περὶ τῆς τελευτῆς Ὀρέστου ἔοικεν εὔχεσθαι. ζητοῦσι δὲ διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέστου, ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη. ῥητέον οὖν, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα· τότε δὲ, ὡς κατὰ ἀποθανόντος παῤῥησιάζεται ἄφοβος γενομένη.

660. ΞΕΝΑΙ ΓΥΝΑΙΚΕΣ. ὁ παιδαγωγὸς ἥκει πλασόμενος τὰ περὶ τοῦ θανάτου

645. *διττῶν, duplicium*, id est *ambiguorum*. Sic Lucianus in Alexandro p. 218. *διττούς τινας καὶ ἀμφιβόλους καὶ λοξοὺς χρησμοὺς συγγράφων*.

646. *πέφηνεν*. Scholiastes minus bene legit *πέφυκεν*. Glossema est genuinæ vocis, cujus locum etiam invaserat in Æschyli Prom. 111.

[653. Interpunctione mutanda sensum mihi videor adjuvisse. Transpositæ copulæ exempla etiam insolentiora viri docti notarunt. *Schæf.*]

[660. *ξένα γυναῖκες*. V. Valckenarii Callimachea p. 104. *Schæf.*]

Digitized by Google

εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ. τάδ' ἐστὶν, ὦ ξέν'. αὐτὸς ἤπασας καλῶς.
ΠΑΙ. ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟ. μάλιστα πάντων. ἥδε σοι κείνη πάρα. 665
ΠΑΙ. ὦ χαῖρ' ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς, φίλου παρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ. ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλε βροτῶν.
ΠΑΙ. Φανοστενὴς ὁ Φωκεὺς, πρᾶγμα πορσύνων μέγα. 670
ΚΛ. τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙ. τέθνηκ' Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛ. οἲ ἐγὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ. τί φῂς, τί φῂς, ὦ ξεῖνε; μὴ ταύτης κλύε. 675
ΠΑΙ. θανόντ' Ὀρέστην νῦν τε καὶ τότ' ἐννέπω.
ΗΛ. ἀπωλόμην δύστηνος. οὐδέν εἰμ' ἔτι.

Ὀρέστου. τὸ δὴ ἦθος αὐτοῦ μέσον ἐστὶν, οὔτε ἀποικτιζομένου παντάπασιν, οὔτε ἡδομένου, ἀλλ' ὡς ξένου. εὐκαίρως δὲ ἥκει ἔξω αὐτῶν ἀμφοτέρων· πρῶτον, ἵνα μὴ διισσολογοίη, πρὸς ἀμφοτέρας ἀπαγγέλλων· δεύτερον, πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων. πιθανῶς δὲ ἐρωτᾷ, ὡς ἀγνοῶν.

664. ΠΡΕΠΕΙ ΓΑΡ ΩΣ ΤΥΡΑΝΝΟΣ. στοχάζεται ἐκ τῆς στολῆς καὶ τῶν βασιλείων.

668. ΕΔΕΞΑΜΗΝ. λείπει ἡ ἀπὸ, ἵν' ᾖ, ἀπεδεξάμην.

675. ΤΙ ΦΗΙΣ, ΤΙ ΦΗΙΣ; οἱ ἡλέως ἀκούοντες λόγου, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται. ΜΗ ΤΑΥΤΗΣ ΚΛΥΕ. οἷον, μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς.

662. ἥκασας. Vulgo εἴκασας. Atticam formam reposui. Vide notam ad Comici Nubes 350.

[663. F. τήνδε γ' εἰκάζων κυρῶ. *Schæf.*]

664. πρέπει ὡς τύραννος εἰσορᾶν, *decora est videri ut regina:* id est *reginæ similis est.* Hoc significatu frequentatur verbum πρέπω. Pindarus Pyth. ii. 69. Εἶδος γὰρ ὑπεροχωτάτᾳ Πρέπεν οὐρανίᾳ Θυγατέρι Κρόνου. Euripides Bacchis 905. Μορφῇ δὲ Κάδμου θυγατέρων πρέπεις μιᾷ. Ibidem 1177. Πρέπει γὰρ, ὥστε θηρὸς ἀγραύλου φόβη. ut hic πρέπει εἰσορᾶν, sic apud Æschylum Suppl. 727. Πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις Γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν. ubi πρέπουσιν ἰδεῖν, *conspicui sunt.*

[667. Erfurdtiana, nescio cur, Αἰγίσθῳ δ' ὁμοῦ. *Schæf.*]

674. οἲ ἐγώ. Sic præstantissimi e veteribus codd. absque elisione, ut Aj. 803. et passim. Eadem est ratio, quæ in τί ἐστι; τί εἶπας; de quibus vide ad Philoct. 733. 917. et quæ notavimus ad Æschyli Persas 515.

676. τότε, *dudum.* In Triclinii recensione scriptum νῦν τε καὶ πάλαι λέγω. altera superscripta lectione. Illa in August. quoque nostræ superscripta. [νῦν τε καὶ τότ' ἐννέπω. *nunc, ut antea.* Infra v. 907. καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι. *Schæf.*]

Digitized by Google

ΚΛ. σὺ μὲν τὰ σαύτης πράσσ'· ἐμοὶ δὲ σύ, ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;
ΠΑΙ. κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω. 680
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος, Δελφικῶν ἅθλων χάριν,
ὅτ' ἤσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας· 685
δρόμου δ' ἰσώσας τῇ 'φέσει τὰ τέρματα,

679. ΤΩι ΤΡΟΠΩι ΔΙΟΛΛΥΤΑΙ. *Ἴδιον καὶ τοῦτο τῶν ἡδομένων. μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται. ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων Ἑλληνικοῦ.*

682. ΔΕΛΦΙΚΩΝ ΑΘΛΩΝ. *οὕτω ἦν ἐπὶ Ὀρέστου ὁ Πυθικὸς ἀγών.*

686. ΔΡΟΜΟΥ Δ' ΙΣΩΣΑΣ. *τοῦ ἐκ ποδὸς δρόμου. τινὲς δολιχὸν φασιν ἀγωνίσασθαι Ὀρέστην, ὃς ἐστιν εἴκοσι στάδια, εἴκοσιν ἐτῶν ὄντα· ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο. Ἄλλως. οἷον οὐκ ἐλλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι, κατὰ τὴν αὐτοῦ φύσιν, τῆς νίκης ἔτυχεν· ἀλλ' ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι, ὡς ἐπὶ τῇ μορφῇ. ἀντὶ τοῦ, ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτω καὶ τῷ ἔργῳ ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ ἐπὶ τῷ ἔργῳ.*

682. *πρόσχημα*, inquit Budæus, *decus* significat *et rem visendam*. Herodot. l. v. 28. *καὶ δὴ καὶ τῆς Ἰωνίης ἦν πρόσχημα Μίλητος*. Plutarchus in Camillo de Veiis: *ἦν δὲ πρόσχημα τῆς Τυρρηνίας ἡ πόλις*: quod ab interprete male acceptum. Apud eumdem in Fabio, Magister equitum, æquato sibi cum Dictatore imperio, gaudet *ἐπὶ τῷ τὸ πρόσχημα τῆς ἀκροτάτης καὶ μεγίστης ἀρχῆς ὑφεῖσθαι καὶ προπηλακίσθαι δι' αὐτόν*. Eadem significatione simplex *σχῆμα* adhibet Euripides Andromachæ initio: *Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις*. *Ἑλλὰς ἀγὼν, conventus Græcorum*. *ἀγὼν certamen* hic non significat, quod non animadvertens Oudendorpius ad Thomam M. in *πρόσχημα*, *ἀγῶνος* cum sequentibus jungit, *ἀγῶνος Δελφικῶν ἅθλων χάριν*. Adjective sumitur *Ἑλλάδος*, ut Philoct. 223. [Interpunctionem, ut jam aliis placuerat, mutavi. *Ἀγὼν Δελφικῶν ἅθλων* dictum ut *ἀγὼν μάχης* Trachin. v. 20. ubi v. Wakefield. it. Lobeck. ad Ajac. p. 398. Pausanias x, 21. 3. *καὶ τότε ἐς ἀγῶνα ἐλθὼν πολέμου πρῶτον*. Similiter Diodorus Sicul. iv. c. 16. *διὰ τὴν ἐν τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδραγαθίαν*. ubi v. Weselingius. *Schæf.*]

686. Vulgo legitur, *δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα*. Quod quid sit, nemo adhuc diserte potuit exponere. Quæ in scholiis afferuntur explicationes sunt futilissimæ. Cursus qui *δολιχὸς* appellabatur, diu post heroica tempora in usu fuit. Hujus de mensura non convenit inter criticos. Probabile est fuisse xxiv. stadiorum. Verum utut fuerit, quis credat poëtam tam obscuro ænigmate significare voluisse, tot stadia Orestem cucurrisse, quot annos tum esset natus? Quid ostendit *φύσιν* hic *ætatem* significare? glossa *ἤγουν δραμὼν ἁρμοδίως τῇ αὐτοῦ φύσει* nihil expedit. Unius literæ mutatione sententiam restituit Musgravius felici conjectura ad Euripidis Phœn. 1153. proposita: *Δρόμου δ' ἰσώσας τῇ ἀφέσει τὰ τέρματα*. Eadem laus Oresti tribuitur, quam cursori Ariæ impertit Antipater Sidonius Epigr. xxxix. *Ἢ γὰρ ἐφ' ὑσπλήγγων ἢ τέρματος εἶδέ τις ἄκρου Ἵππιον, μέσσῳ δ' οὖτοτ' ἐνὶ σταδίῳ*. Is sane sciebat, quid esset *τὰ τέρματα τοῦ δρόμου ἰσοῦν τῇ ἀφέσει, metam carceribus cursu jungere*. Librario fraudi fuit elisio *τῇ 'φέσει*, quod quum non caperet, notius substituit *φύσει*.

Digitized by Google

νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιάδ' ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ' ἴσθ'. ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς
δρόμων διαύλων πεντάεθλ', ἃ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τὠπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγὼν,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιὸς, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·

691. ΠΕΝΤΑΘΛ' Α ΝΟΜΙΖΕΤΑΙ. ἅλμα, δίσκον, ἄκοντα, δρόμον, πάλην. ταῦτα ἐν μιᾷ τις ἠγωνίζετο ἡμέρᾳ.

696. ΟΤΑΝ ΔΕ ΤΙΣ ΘΕΩΝ. ὅμοιον τοῦτο τὸ Πινδαρικόν· (Πυθ. β'. 91.) θεὸς, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα.

700. ΕΙΣΗΛΘΕ ΠΟΛΛΩΝ. φιλοτίμως, διὰ πιθανότητα, ταῦτα ἐπεργάζεται.

689. *τοιάδ' ἀνδρὸς ἔργα.* Hæc est codicis mei lectio, quam vulgatæ *τοιοῦδ'* præfero. In T. superscripta varia lectio *ἔργ' οὐδὲ κράτη*, quam D. in contextu exhibet. Glossa, *τοιαῦτα ἔργα καὶ κράτη ἀνδρὸς, τοιαύτας ἀνδραγαθίας, ἢ τοιαύτην ἰσχύν.* quæ explicatio ad nostram lectionem refertur. Eam descripsi e cod. C. qui tamen in textu habet *τοιοῦδ'*.

690. *βραβῆς.* Vulgo *βραβεῖς.* Vide ad Œd. T. 18. Quæ sequuntur verba *δρόμων διαύλων πεντάεθλ'* non carent difficultate. Intelligenda sunt, tanquam si scriptum esset, *ὅσων γὰρ ἀγώνων νενομισμένα πένταθλα οἱ βραβεῖς εἰσεκήρυξαν, τούτων*—Pro *ἀγώνων* posuit *δρόμων διαύλων*, quia *cursus* certaminum est nobilissimum; quamobrem in omnibus ludis primum hoc committebatur, et signabantur singulæ Olympiades athletæ nomine, qui stadio vicerat: itidem *Quinquertii* pars erat nobilissima *cursus duplicati stadii*, hujusque certaminis nomine ceteræ quatuor *Quinquertii* partes synecdochice continentur: *ἀπὸ μέρους*, ut aiunt, *τὸ ὅλον.* Orestes hic fingitur primum vicisse *stadio*, postea eodem die *pentathlo* certasse, qua in commissione quinque conjunctorum certaminum, victor omnium renuntiatus est. Idem contigit Xenophonti Corinthio, cujus laudes cecinit Pindarus Olympion. xiii. Exstat vetus Epigramma *εἰς τὸ πένταθλον* apud Eustathium p. 1320. et in Analectis nostris, tom. iii. p. 247. Ἅλμα ποδῶν, δίσκου τε βολὴ, καὶ ἄκοντος ἐρωὴ, Καὶ δρόμος, ἠδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τελευτή. Verti debuit: *Quorumcunque enim certaminum a ludorum arbitris indicta fuere pro more quinquertia, horum*, etc.

[698. *ἱππικῶν.* Generis neutrius esse opinor. Ἀγῶν ἱππικῶν, ut supra v. 682. ἀγὼν Δελφικῶν ἄθλων. *Schæf.*]

699. *τέλλοντος.* gl. *ἀνατέλλοντος.*

Digitized by Google

κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος, λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ', ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ἧξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· πόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναρεμιγμένοι
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,
ἕχριμπτ' ἀεὶ σύριγγα, δεξιόν τ' ἀνεὶς

703. ΚΑΙ'ΚΕΙΝΟΣ. ὁ Ὀρέστης.

706. ΛΕΥΚΙΠΠΟΣ. ἐμοὶ δοκεῖ ὄνομα εἶναι· οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι. ὄνομα γὰρ κύριον οὐ προτέθεικε πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον. ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται. οἱ δὲ Αἰνιᾶνες τῶν Θεσπρωτῶν ἢ Θρᾳκῶν. Ὅμηρος· (Ἰλ. β'. 749.)

τῷ δ' Ἐνιῆνες ἕποντο, μενεπτόλεμοί τε Περαιβοί.

ΑΘΗΝΩΝ ΤΩΝ ΘΕΟΔΜΗΤΩΝ. προσχαρίζεται τοῖς Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων.

716. ΩΣ ΤΠΕΡΒΑΛΟΙ. ὑπεκδράμοι, οἷον πρῶτος τοῦ δρόμου γενέσθαι. ΧΝΟΑΣ δὲ, τὰς τοῦ ἄξονος σύριγγας, καὶ τὰ ΙΠΠΙΚΑ δὲ ΦΡΥΑΓΜΑΤΑ. φυσήματα, πνεύματα, ἀπὸ μέρους τὸ ὅλον ἅρμα. σύριγξ δέ ἐστι τὸ εἰς ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται. λείπει δὲ τὸ ἐλαίνων. τὸ δὲ χνόας βαρέως. τὰ γὰρ εἰς η δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ἂν προηγεῖται δασὺ, βαρύνεται· χνόη, φθόη, χλόη. τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ.

720. ΣΤΗΛΗΝ. τὸν λίθον τὸν καμπτῆρα. ΕΧΡΙΜΠΤ' ΑΕΙ ΣΤΡΙΓΓΑ. ὅ ἐστι

703. Θεσσαλὰς ἔχων. In D. ἄγων, quæ lectio in T. alteri superscripta.

706. Αἰνιάν. et infra 724. Αἰνιᾶνος. Perperam Aldus et plerique codd. habent Αἰνειὰν et Αἰνειᾶνος, ut scriptum est etiam in Triclinii recensione. In meo emendate Αἰνιὰν, Αἰνιᾶνος, quod asserit Eustathius ad Homeri catalogum p. 335. Vide Stephanum Byzant. in Αἰνία.—λεύκιππος perperam ad editoribus acceptum fuisse videtur pro nomine proprio. Epitheton est quo Stesichorum usum fuisse docet Eustathius p. 524.

719. ἤφριζον.—Hinc Virgilius Georg. iii. 111. *Humescunt spumis, flatuque sequentum.*

Digitized by Google

σειραῖον ἵππον, εἶργε τὸν προσπείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς, 725
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέσσα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀνταῦθεν ἄλλος ἄλλον, ἐξ ἑνὸς κακοῦ,
ἔθραυε, κἀνέπιπτε· πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον. 730
γνοὺς δ' οὐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος
ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς
κλύδωνα· φίπτον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μέν, ὑστέρας ἔχων

προσεκέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ. ΣΕΙΡΑΙΟΝ ΙΠΠΟΝ. τὸν ἐξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι τὸν ἀριστερόν.

724. ΑΣΤΟΜΟΙ. σκληρόστομοι. ΕΚ Δ' ΤΠΟΣΤΡΟΦΗΣ. ἐξ ὑπαντήσεως ἐκείνων ὑποστρεφόντων. ΒΑΡΚΑΙΟΙΣ. τοῖς Λιβυκοῖς. Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαΐς καλουμένη.

730. ΝΑΥΑΓΙΩΝ. τῶν ἁρμάτων. ΔΕΙΝΟΣ ΗΝΙΟΣΤΡΟΦΟΣ. ἀντὶ τοῦ ἔμπειρος. πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον. ΕΞΩ ΠΑΡΑΣΠΑΙ. φυλαξάμενος, φησὶ, τούτοις συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν παρασπᾷ. ΚΑΙ ΝΑΚΩΧΕΤΕΙ. ἀνασειράζει, κατέχει. ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν, χειμῶνος ὄντος ἐν τῷ πελάγει, στείλαντες τὰ ἄρμενα σαλεύωσιν αὐτόθι, μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν. οὐ διημάλλησατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα, καὶ ὕστερος ἠρέμα ἤλαυνε.

726. τελοῦντες, non ad solum Ænianem, sed etiam ad Barcæum refertur. Nam Ænian non agebat simul sextum et septimum cursum; sed quum is septimum ageret, sexies jam circumacta meta, tum Barcæus sextum cursum agebat, sicque adversis frontibus in se invicem impegere. Est itaque τελοῦντες nominativus pendens, vice genitivi absoluti. ἐκ δ' ὑποστροφῆς μέσσα συμπαίουσι Βαρκαίοις ὄχοις, τελούντων αὐτῶν ἤδη ἕκτον καὶ ἕβδομον δρόμον. In fine versus 725. comma poni debuit. In curulibus certaminibus duodecies circa metam flectebantur equi. Inde curules victorias Pindarus appellat ἄνθεα τεθριππων δυωδεκαδρόμων: et metam, δωδεκάγναμπτον τέρμα δρόμου ἵππων.

727. συμπαίουσι. Mendose Aldus συμπαίουσι.

734. ὑστέρας ἔχων. Aldus et codd. ad unum omnes ὑστέρας δ' ἔχων. Melius esset cum Heathio legere ὑστέρας τ' ἔχων. Verum neutra particula opus est, nec ullam agnoscit August. codex quem hic sequimur. Librarius de suo infersit δὲ, ob præcedens μέν. Vide ad Trach. 844. Reduplicatio est, quales jam multæ observatæ fuerunt, in ἔσχατος ἤλαυνε, ὑστέρας ἔχων πώλους, antiquam simplicitatem redolens. Sic in Euripidis Andromacha 393.—ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς, Πρὸς τὴν τελευτὴν, ὑστέραν οὖσαν, φέρε. Ibi voces ὑστέραν οὖσαν sine ullo sententiæ detrimento tam bene omitti poterant, quam hic voces ὑστέρας ἔχων πώλους. Faceta est conjectura Parisini editoris; Ἤλαυνε δὲ ἔσχατος μὲν, ὑστέρας δ' ἔχων—Hominis temeritatem satis mirari nequeo, qui Tragici Græci emendationem in se suscipit, paremque se huic negotio putat, et tamen ignorat, talem hiatum, qualis in δὲ ἔσχατος est, totius theatri

Digitized by Google

πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων. 735
ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις, διώκει· παράξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων. 740
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου, λανθάνει στήλην ἄκραν
παίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας, 745
παράξ ἀντύγων ἄλισθε· σὺν δ' ἐλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ', ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀναλόλυξε τὸν νεανίαν, 750
οἳ ἔργα δράσας οἷα λαγχάνει κακά,
φορούμενος πρὸς οὐδας, ἄλλοτ' οὐρανῷ

735. ΤΩι ΤΕΛΕΙ ΠΙΣΤΙΝ ΦΕΡΩΝ. οἷον πιστεύων, ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται· ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν. ΚΑΙ'ΕΙΣΩΣΑΝΤΕ. ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος.

743. ΑΤΩΝ ΗΝΙΑΝ. χαυνῶν, διὰ τὸ συμπεπλέχθαι. ΑΞΟΝΟΣ ΜΕΣΑΣ ΧΝΟΑΣ. τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ τριβόμενον ὑπὸ τῆς χοινικίδος. εἴρηται δὲ ὁμοίως τὸ παρὰ Ἀπολλωνίῳ. (Ἀργον. α'. 757.)

ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο.

751. ΛΑΓΧΑΝΕΙ. γράφεται καὶ ΤΥΓΧΑΝΕΙ.

sibilis excipiendum fuisse, nec unicum in superstitibus omnibus Atticæ scenæ reliquiis exemplum esse, quo defendi possit. Scriptum oportuisset ἤλαυνε δ' ἄνατος, et tum claudicaret versus in secundo pede.

738. κἀξισώσαντε ζυγά. Sic bene in scholiis legitur. Tragici exemplaria pluralem pro duali habent, qui hic elegantior est.

739. τότ' ἄλλος. Sic membr. et plerique codd. etiam is qui Triclinii recensionem habet. Turnebus tamen pravum πότ' ex Aldina retinuit. Correlativa sunt ποτὲ, ἄλλοτε. Hoc, quia fere geminari solet, vel alteri cognatæ significationis adverbio opponi, infra v. 752. ubi solum absque correlativo ponitur, erudito Heathii amico suspectum fuit. Pro ἄλλοτ' οὐρανῷ conjecit ἀλλὰ τοὐρανῷ, quod equidem cum eo non accipiebam pro τὰ, sed pro τῷ οὐρανῷ. Verum conjecturæ non est locus. E præcedenti φορούμενος πρὸς οὐδας satis intelligitur, impliciti loris cadaveris crura modo in solo porrecta fuisse, modo sursum jactata. [τότ' ἄλλος, ἄλλοθ' ἅτερος. V. not. ad Theocriti Idyll. vi. v. 46. *Schæf.*]

[742. ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων. Notanda repetitio. In hac figura dici vix potest quantopere Græci scriptores sibi placuerint. V. Lobeck ad Ajac. p. 267. *Schæf.*]

Digitized by Google

σπέλη προφαίνων· ἔς τε νιν διφρηλάται,
μόλις κατασχέθοντες ἱππικὸν δρόμον,
ἕλυσαν αἱματηρὸν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κήαντες εὐθὺς, ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐπλάχοι χθονός.
τοιαῦτά τοι ταῦτ' ἐστὶν, ὡς μὲν ἐν λόγοις,
ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὅπωπ' ἐγὼ κακῶν.

ΧΟ. φεῦ, φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.

ΚΛ. ὦ Ζεῦ, τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.

ΠΑΙ. τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;

ΚΛ. δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ καὶ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.

757. ΕΝ ΒΡΑΧΕΙ ΧΑΛΚΩ. *καὶ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος, ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ* Ἠλέκτρᾳ. ΜΕΓΙΣΤΟΝ ΣΩΜΑ ΔΕΙΛΑΙΑΣ ΣΠΟΔΟΥ. *ἀντίπτωσις, ἀντὶ τοῦ σποδὸν δειλαίαν μεγίστου σώματος.*

766. Ω ΖΕΥ. *ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει· πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται. διὰ δὲ τὸν Χορὸν ἀλγεῖν ὑποκρίνεται.*

757. *κήαντες.* Sic Aldus et veteres codd. omnes, partim ut edidimus, partim cum ι subscripto *κήαντες*. In C. a prima manu scriptum fuerat *καίαντες*. In Triclinii recensione est *κείαντες*. Homerica forma est *ἔκηα*, unde participium *κήας*. Magis Atticum videri possit *κέαντες*, quod in Euripidis Rheso ex codd. auctoritate restituit Musgravius: *Ἀλλ' ἐκκέαντες πύρσ' ἐπ' εὐσέλμων νεῶν*. Vide Piersonum ad Mœridem p. 231.

[758. Antiptosin nescio quam Scholiastæ hic crepant, quibus miror viros doctos assentiri potuisse. Ordo verborum: *φέρουσιν μέγιστον σῶμα ἐν βραχεῖ χαλκῷ δειλαίας σποδοῦ. Χαλκὸς σποδοῦ* dicitur ut *ἅμαξα χόρτου, πίθος μέλιτος, ὑδρία ὕδατος*, etc. V. not. ad Longi Pastor. p. 386. *Schæf.*]

[760. *ἐκλάχῃ*. Ita recte Erfurdtius ex Cod. Jen. Vulgo *ἐκλάχοι*. *Schæf.*]

[762. *τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν. spectatoribus, scilicet nobis qui vidimus.* Phrasis ex rarioribus. *Schæf.*]

[766. *τί ταῦτα*; Xenophon Anab. ii. 1, 22. *Τί οὖν ταῦτ' ἐστίν*; V. Heindorf. ad Platon. Gorg. p. 212. Compares Aristophanis Pac. v. 693. *τὰ τί*; *Schæf.*]

770. *δεινὸν τὸ τίκτειν ἐστίν.* Comicus in Lysistr. 884. *οἷον τὸ τεκεῖν.* Vulgo legitur *οὐδὲ γὰρ κακῶς πάσχοντι*. Nimis languidum est istud *γάρ*. Pro *τέκῃ* Triclinius habet *τέκοι*, quod in D. superscriptum. Vide not. ad Œd. Col. 393. [Brunckius ex conjectura *οὐδὲ καὶ κακῶς*. *Schæf.*]

Digitized by Google

ΠΑΙ. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛ. οὔ τοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο· κἄμ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκ ἔτ' εἶδεν· ἐγκαλῶν δ' ἐμοὶ
φόνους πατρῴους, δεῖν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον, οὔτ' ἐξ ἡμέρας,
ἐμὲ στεγάζειν ἡδύν· ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ', (ἡμέρᾳ γὰρ τῇδ' ἀπήλλαγμαι φόβου
πρὸς τῆσδ', ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα.) νῦν ἔκηλά που,
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ', ἡμερεύσομεν.
ΗΛ. οἵ μοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφορὰν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζῃ μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ. οὔ τοι σύ· κεῖνος δ', ὡς ἔχει, καλῶς ἔχει.
ΗΛ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ. ἤκουσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
ΗΛ. ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.
ΗΛ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,

761. Ο ΠΡΟΣΤΑΤΩΝ ΧΡΟΝΟΣ. ὁ ἐπιγενόμενος.

783. νῦν δὲ—νῦν ἔκηλά που. Intermedia in parenthesi sunt. Eleganter repetitur, ut sæpe, adverbium νῦν· sed addita posteriore loco particula δὲ venustatem omnem sustulerat. In D. scriptum νῦν δὴ ἔκηλά που, quod vulgate melius non est.

[786. νῦν δ'. Brunckius δ' delevit. *Schæf.*]

792. Νέμεσι. Sic Aldus et præstantissimi e veteribus codd. In aliis Νέμεσις. τοῦ θανόντος jungendum cum Νέμεσι, non cum ἄκουε. Ineptum scholion quod ad hunc versum vulgavit Johnsonus, consulto omisimus. [Post Νέμεσι comma posui, ut jungantur ἄκουε τοῦ θανόντος. Conf. vers. sequ. *Schæf.*]

797. πολλῶν ἂν ἥκοις. Perperam in August. et in Triclinii recensione ἥκεις. In E. εἴης, quod e glossa quam edidimus, ortum.

Digitized by Google

εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑΙ. οὐκοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛ. ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας, οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοσθεν βοᾶν
ἔα τά θ' αὑτῆς, καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κἀδυνωμένη
δεινῶς δαπρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς,
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη,
καὶ πατρός. ἦ δὴ δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσσομ'· ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν, ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα, καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν, ἢν θάνω,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.
ποῦ ποτε κεραυνοὶ Διὸς, ἢ στροφὴ α'.

802. ΤΗΝΔΕ Δ' ΕΚΤΟΣΘΕΝ ΒΟΑΙΝ ΕΑ. τοῦτο οἰκονομικῶς. εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις ἀπέκλινεν ἑαυτὴν, διελύετο ἂν ἡ ὑπόθεσις.
823. ΠΟΥ ΠΟΤΕ ΚΕΡΑΥΝΟΙ. ἐν τοῖς ἔμπροσθεν (173.) παραμυθούμενος ὁ

[800. καταξίως. Erfurdtius ex Cod. Jen. κατ' ἀξίαν. Nostrum satis tuetur similis locus in Œd. Col. v. 911.

ἐπεὶ δέδρακας οὐτ' ἐμοῦ καταξίως,
οὔθ' ὧν πέφυκας αὐτὸς, οὔτε σῆς
χθονός.

Omnino amat Sophocles hæc adverbia. Œd. R. v. 133. ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ —. *Schæf.*]

814. Perperam vulgo distinctum καὶ πατρὸς ἤδη. Particulæ ἦ δὴ in unam vocem librarii errore coaluerant.

821. ἢν θάνω. Sic optime legebat Scholiastes, quem vide ad v. 975. Tragici exemplaria habent ἢν κτάνῃ. Quanto præstantior sit nostra lectio ex membrorum diserta oppositione apparet: χάρις ἢν θάνω, λύπη ἐὰν ζῶ.

823. Hic versus et tres sequentes vulgo tribuuntur Choro, manifesto er-

Digitized by Google

ποῦ φαίθων
Ἅλιος, εἰ ταῦτ' ἐφορῶντες
κρύπτουσιν ἔκηλοι ;
ἔ, ἔ· αἰ, αἰ.
ΧΟ. ὦ παῖ, τί δακρύεις ;
ΗΛ. φεῦ.
ΧΟ. μηδὲν μέγ' ἀΰσῃς.
ΗΛ. ἀπολεῖς.
ΧΟ. πῶς ;
ΗΛ. εἰ τῶν φανερῶς οἰχομένων εἰς
Ἀΐδαν ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ
ταχομένας μᾶλλον ἐπεμβάσει.
ΧΟ. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων ἀντιστρ. α'.
χρυσοδέτοις
ἕρκεσι κρυφθέντα γυναικῶν·

Χορὸς τὴν Ἠλέκτραν, ἔλεγε· Θάρσει μοι, τέκνον, θάρσει· ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς, καὶ τὰ ἐξῆς· νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας, καὶ προτεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν, εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴ γε περιορῶσί τοιαῦτα γιγνόμενα· καὶ τὸν μὲν Ἥλιον, ὡς πάντα ἐφορῶντα, παρέλαβεν· τὸν δὲ Δία, ὡς πάντων δεσπότην ὄντα. δεῖ δὲ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς οὐρανὸν, καὶ τὰς χεῖρας ἀνατεῖναι· ὃ δὴ κωλύει ὁ Χορὸς, ΜΗΔΕΝ ΜΕΓ' ΑΥΣΗΙΣ.

826. ΚΡΥΠΤΟΥΣΙΝ. οἷον οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν. Ε Ε, ΑΙ ΑΙ. θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν. ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτον μέλος.

831. ΑΠΟΛΕΙΣ. ἀποκναίεις με, φησὶν, ἐν τοῖς ἀθεραπεύτοις παρηγοροῦσα. δαιμονίως δὲ τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ τοῦ Χοροῦ ἐπιτιμήσεων, ἐρεῖ τι ἀπρεπὲς εἰς θεοὺς, ἐκεῖ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν· καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων· ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν, ὡς ψυχραῖς, τοῦτό φησιν. οἱ δὲ ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν.

837. ΧΡΥΣΟΔΕΤΟΙΣ ΕΡΚΕΣΙ. ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις τοῦ δοθέντος δρμου Ἐριφύλῃ, διὰ τὴν Ἀμφιαράου ἔξοδον, διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας. ἢ ἐπὶ τῶν ἁρμάτων φησὶν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις, ἅπερ ἔρκη εἶπεν, οἷον, περιφράγματα καὶ τείχη. ὧν οὐκ ἐξέφυγεν Ἀμφιάραος, ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. ἢ ΧΡΥΣΟΔΕΤΟΙΣ, τῷ ὅρμῳ, ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος· τὸ δὲ ΕΡΚΕΣΙΝ, οἷον τοῖς δεσμοῖς καὶ φράγμασι, καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γενομένῃ. ΓΥΝΑΙΚΩΝ ΑΠΑΤΑΙΣ. ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ· ἢ καθόλου τὸν χρυσὸν, γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο. Ἄλλως. ΟΙΔΑ ΓΑΡ ΑΝΑΚΤ' ΑΜΦΙΑΡΕΩΝ. ὁ Χορός φησιν, ὅτι καὶ ἐν

rore. Ab Electra eos proferri debuisse liquet ex Chori subjecta admonitione μηδὲν μέγ' ἄΰσῃς, quæ ad ista Electræ verba refertur. Inepte Johnsonus vertit, *ne altum nimis clamaveris*. Recte glossa : μηδὲν ἀπρεπὲς εἰς τοὺς θεοὺς εἴπῃς. Vide scholia ad Aj. 386.

838. ἕρκεσι κρυφθέντα γυναικῶν, *mulierum laqueis irretitum, captum, obrutum*. Allusio esse possit ad monile Eriphylæ datum. Addita in Aldina et in codd. vox ἀπάταις a mala manu est et ejici debuit : tam sententiæ inutilis est quam metro.

Digitized by Google

καὶ νῦν ὑπὸ γαίας—

ΗΛ. ἔ, ἔ. ἰώ. 840

ΧΟ. πάμψυχος ἀνάσσει.

ΗΛ. φεῦ.

ΧΟ. φεῦ δῆτ'. ὀλοὰ γάρ.

ΗΛ. ἐδάμη—

ΧΟ. ναί. 845

ΗΛ. οἶδ', οἶδ'· ἐφάνη γὰρ μελέτωρ ἀμφὶ τὸν ἐν πένθει· ἐμοὶ δ' οὔ τις ἔτ' ἔσθ'· ὃς γὰρ ἔτ' ἦν, φροῦδος ἀναρπασθείς.

ΧΟ. δειλαία δειλαίων κυρεῖς. στροφὴ β'.

ΗΛ. κἀγὼ τοῦδ' ἵστωρ, ὑπερίστωρ, 850 πανσύρτῳ παμμήνῳ πολλῶν

αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία· τιμὴν δὲ αὐτῷ φησιν ἔσεσθαι, διὰ τὸ μαντεύεσθαι αὐτόν.

840. Ε Ε. οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους, θρηνεῖ ἡ Ἠλέκτρα.

841. ΠΑΜΨΥΧΟΣ ΑΝΑΣΣΕΙ. ἀντὶ τοῦ, πασῶν ψυχῶν ἀνάσσει, αἳ δὴ ἐν χρείᾳ καθεστῶσι τῆς ἐκείνου μαντικῆς. ἢ ΠΑΜΨΥΧΟΣ, ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν, ἢ ὁ διὰ παντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν, ἀθάνατος.

842. ΦΕΥ. μησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα, ἀναβοᾷ ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα. ΦΕΥ ΔΗΤ' ΟΛΟΑ ΓΑΡ. ὁ Χορὸς συγκατατιθέμενός φησιν, ὅτι δικαίως ἀνεβόησας· ὁλοὴ γὰρ ἦν ἡ Ἐριφύλη. ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ Χορός. ἀπέστασε γὰρ αὐτὴν τοῦ θρηνεῖν, ἐμβαλὼν τὸ κατ' αὐτὴν μύθευμα. ΕΔΑΜΗ. ἡ Ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός. ὁ Χορὸς δὲ, ὡς πυνθανομένης, ἐπάγει τὸ ΝΑΙ.

846. ΟΙΔ', ΟΙΔ'· ΕΦΑΝΗ. οἶδα ὅτι ἐδάμη. ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ, τουτέστι τιμωρὸς τοῦ πατρός. ἐμοὶ δὲ οὐδεὶς πάρεστιν, ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν Χορὸς παρέβαλε τὸν Ἀγαμέμνονα τῷ Ἀμφιαράῳ, ἵνα ἡ Ἠλέκτρα εὐέλπις εἴη περὶ τοῦ πατρὸς, ὅτι τεύξεται τιμῆς τινος· ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχε τιμωρίας. πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ ΕΜΟΙ Δ' ΟΤΤΙΣ.—ΜΕΛΕΤΩΡ. φροντιστὴς, ᾧ ἐπιμελὲς γέγονε μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον, τοῦ Ἀμφιαράου.

849. ΔΕΙΛΑΙΑ ΔΕΙΛΑΙΩΝ. καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἴ τι παραχωρεῖν τοῖς λυπουμένοις, καὶ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς.

850. ΚΑἹΓΩ ΤΟΥΔ' ΙΣΤΩΡ. κἀγὼ τούτου ἐπιστήμων εἰμὶ, ὅτι ταλαίπωρός εἰμι. Ἄλλως. οἶδα, φησὶν, ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων. ΠΑΝΣΥΡΤΩι. τῷ πάντα σύροντι τὰ κακά· ἢ τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. ΠΑΜΜΗΝΩι. τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμὶ,

841. πάμψυχος ἀνάσσει. Cicero de Divinatione i. 40. *Amphiaraum autem sic honoravit fama Græciæ, Deus ut haberetur, atque ut ab ejus solo, in quo est humatus, oracula peterentur.* πάμψυχος glossa exponit ζῶν, recte. ὁ κατὰ πάντα τρόπον ζῶν. Nempe quia, ut Homerus ait de Tiresia, Τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια Οἴῳ πεπνύσθαι· τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν.

849. δειλαία δειλαίων κυρεῖς. *Misera miserarum*, id est, *miserrima es.* Perperam Johnsonus vertit: *misera, miserias sustines.* Geminatio ejusdem adjectivi pro superlativo est. Vide ad Œd. T. 465.

Digitized by Google

δεινῶν τε στυγνῶν τ' ἀχέων.
ΧΟ. εἴδομεν ἃ θροεῖς.
ΗΛ. μή μέ νυν μηκέτι
παραγάγῃς, ἵν' οὐ— 855
ΧΟ. τί φῄς;
ΗΛ. πάρεισιν ἐλπίδων
ἔτι κοινοτόκων
εὐπατριδᾶν τ' ἀρωγοί.
ΧΟ. πᾶσι θνατοῖς ἕφυ μόρος. ἀντιστρ. β'. 860
ΗΛ. ἦ καὶ χαλαργοῖς ἐν ἀμίλλαις
οὕτως, ὡς κείνῳ δυστάνῳ,
τμητοῖς ὁλκοῖς ἐγκύρσαι;
ΧΟ. ἄσκοπος ἁ λώβα.
ΗΛ. πῶς γὰρ οὔκ; εἰ ξένος 865
ἄτερ ἐμᾶν χερῶν—

οἷον κατ' αὐτὸ τοῦτο, καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη, καὶ διηνεκῆ παρέμεινεν.

854. ΜΗ ΜΕ ΝΥΝ ΜΗΚΕΤΙ. *μηκέτι οὖν με, φησὶ, παρηγορήσητε, ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαὶ, αἱ ἀπὸ τῶν ἀδελφῶν.* ΚΟΙΝΟΤΟΚΩΝ. *τῶν ἀπ' ἀμφοῖν τῶν γονέων. ἢ τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων. τινὲς, τῶν πᾶσι κοινῶν. διὰ δὲ τοῦ* ΕΥΠΑΤΡΙΔΑΝ *ἠδέσησε τοῦ πατρὸς τὸ ἐγκώμιον, οἷον εὐγενῶν καὶ γενναίων, οἵος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος.*

861. ΧΑΛΑΡΓΟΙΣ. *ταῖς λευκόποσιν, ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν.* εἰπόντος δὲ τοῦ Χοροῦ ΠΑΣΙ ΘΝΗΤΟΙΣ ΕΦΥ ΜΟΡΟΣ, *ἀντιτίθησιν ἡ Ἠλέκτρα.* Ἆρα οὖν οὕτω πέπρωται *τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς;* ΤΜΗΤΟΙΣ ΟΛΚΟΙΣ. *τμητοῖς λώροις, τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν, ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη.*

864. ΑΣΚΟΠΟΣ. *ἀπροόρατος ὁ θάνατος.*

865. ΠΩΣ ΓΑΡ ΟΥΚ. ΕΙ ΞΕΝΟΣ. *τοῦ Χοροῦ εἰπόντος,* Ἀπροῖδης ἡ *κατὰ τὸν ἀγῶνα λώβη, ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ πέπονθεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν καὶ ἐμοῦ χωρίς.* ΚΕΚΕΥΘΕΝ. *ἀντὶ τοῦ κρύπτεται.*

852. In Aldina δεινῶν στυγνῶν τ' ἀχέων. et sic codd. metro claudicante. Oportuit δεινῶν τε, quod jam vidit Heathius. In membr. librarii errore frequentissimo, quo αι et ε confunduntur, scriptum ἀχαίων. Reliqui omnes veteres habent, ut Aldus, ἀχέων. Glossa in E. ἀλγῶν. In mendosum codicem incidit Triclinius, nec adeo catus fuit ut mendam animadverteret: inde fecit Ἀχαιῶν, variamque lectionem, nescio unde enotatam, apposuit: γρ. ἀρχαίων. Hoc *metro convenire, et ad sententiam non ineptum esse* dicit Heathius. Ineptissimus itaque sim ego, qui non videam quo pacto ἀρχαίων stare possit, id est quid sibi velint quatuor adjectiva sine substantivo. ἀρχαίων e Triclinii cerebello prodiisse affirmo, nec unquam in ullo Tragici probo exemplari exstitisse. πανσύρτῳ παμμήνῳ accipe pro διὰ τὸ πάνσυρτον καὶ τὸ πάμμηνον.

856. τί φῄς; additum in Aldina et in veteribus codd. αὐδᾷς δὲ ποῖον; ineptum centonem a mala manu assutum fuisse nemo non videt.

866. ἄτερ ἐμᾶν χερῶν. Sic bene codd. ut metrum flagitat. Mendose Aldus χειρᾶν.

Digitized by Google

ΧΟ. παπαί.
ΗΛ. πέπευθεν, οὔτε του
τάφου ἀντιάσας,
οὔτε γόων παρ' ἡμῶν. 870
ΧΡ. Ὑφ' ἡδονῆς σοι, φιλτάτη, διώκομαι,
τὸ κόσμιον μεθεῖσα, σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
ΗΛ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων 875
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
ΧΡ. πάρεστ' Ὀρέστης ἡμὶν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ' ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛ. ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς; 880
ΧΡ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛ. οἵ μοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ', ὧδε πιστεύεις ἄγαν;
ΧΡ. ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου, σαφῆ 885
σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.
ΗΛ. τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα, θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί;

871. ΤΦ' ΗΔΟΝΗΣ ΤΟΙ. ἡ Χρυσόθεμις παραγέγονε, τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὸν ἡ ἀλόφυρσις ἡ Ἠλέκτρας γένηται. ΣΥΝ ΤΑΧΕΙ ΜΟΛΕΙΝ. λείπει ἡ ὑπέρ. ὑπὲρ τοῦ σὺν τάχει μολεῖν.

875. ΤΩΝ ΕΜΩΝ ΣΥ ΠΗΜΑΤΩΝ. τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις· τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις. κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον.

878. ΚΑΤΟΙΣΘ', ΕΝΑΡΓΩΣ. ἐπὶ τοῦ κλύουσα πρὸς βραχὺ διαστικτέον, ἵν' ᾖ· πάρεστ' ἐναργῶς, ἴσθι τοῦτο κλύουσα ἐμοῦ.

888. ΘΑΛΠΗι. ἀντὶ τοῦ παρακόπτεις τὰς φρένας, ὡς ἐν πυρετῷ. ΑΝΗΚΕΣΤΩι

871. ὑφ' ἡδονῆς σοι. Aldus et codd. rec. male. Vide supra ad v. 378. Eleganter abundat σοι, ut sæpe. Accipi etiam potest pro σοῦ χάριν, vel pro πρὸς σέ.

878. ἐναργῶς cum πάρεστι jungendum, non cum κλύουσα. gl. πάρεστι φανερῶς. ὅσπερ ὁρᾷς ἐμὲ ἐναργῶς παροῦσαν.

879. ἀλλ' ἦ. Sic codices alii. In membr. ἀλλ' ἢ cum signo tamen interrogationis in fine sententiæ. Ista quid differant, docebit te Valckenarius ad Hippol. 932.

888. ἀνηκέστῳ. δεινῷ, μανιώδει. In Aj. 52. ἀνήκεστος χαρά. Homericum est epitheton. Il. o'. 217. Ὣς τοῦθ' ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται. ad

Digitized by Google

ΧΡ. πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσ' ἐμοῦ,
τὸ λοιπὸν ἢ φρονοῦσαν, ἢ μωρὰν λέγῃς.
ΗΛ. σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡ. καὶ δὴ λέγω σοι πᾶν, ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος, καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ,
μή που τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ ξύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὖ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι,
μή του τόδ' ἀγλάϊσμα, πλὴν κείνου, μολεῖν.
τῷ γὰρ προσήκει, πλήν γ' ἐμοῦ καὶ σοῦ, τόδε;

δὲ ΠΥΡΙ, ὡσεὶ ἔλεγεν ἀνιάτῳ ἐλπίδι. ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην ἤδη ἀπολωλότα.

893. ΑΡΧΑΙΟΝ ΤΑΦΟΝ. τὸν ἐκ πολλοῦ ᾠκοδομημένον. ΠΗΓΑΣ ΓΑΛΑΚΤΟΣ. πολὺ γάλα, ὡς τὸ δακρύων πηγάς, ἀντὶ τοῦ πολλὰ δάκρυα. ΘΗΚΗΝ ΠΑΤΡΟΣ. τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη. ΝΕΩΡΗ. νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς, καὶ ὥραν ἔχοντος νέαν.

903. ΣΤΝΗΘΕΣ ΟΜΜΑ. ὅραμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.

909. ΤΩι ΓΑΡ ΠΡΟΣΗΚΕΙ ΠΛΗΝ Γ' ΕΜΟΤ ΚΑΙ ΣΟΤ ΤΟΔΕ. τὸ ἀποκεί-

quem locum Eustathius: Ὅρα καὶ τὸ ἀνήκεστος. ὡς ἐπὶ νόσου γὰρ δεινῆς, τοῦ χόλου, ἐῤῥέθη. αὐτό. et é. 394. Τότε κέν μιν ἀνήκεστον λάβεν ἄλγος. In Œd. T. 98. propria significatione adhibetur: ἀνήκεστον μίασμα, id est, ἀθεράπευτον.

896. πάντων. Glossa omissam præpositionem supplet ἀπὸ, et κύκλῳ abundare docet. Superscriptum περισσόν. θήκην exponit τὸν τάφον.

[900. s. F. ἐσχάτῃ—πυρᾷ. *Schæf.*]

901. νεωρῆ nihil aliud significat quam νέον, ut Œd. Col. 730. Hic vice adverbii νεωστὶ adhibetur. νεωρὸν apud Hesychium perperam scriptum pro νεαρόν.

[903. ὄμμα miror solicitari ut mendosum. Vere Scholiastes: ὅραμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν. Plato Phædr. p. 274. ἰδὼν τὸ ἐρωτικὸν ὄμμα. Heindorfius: "*amatorium illud spectaculum.* Sophocl. Elect. v. 902. ἐμταλεῖ τί μοι Ψυχῇ ξύνηθες ὄμμα." Hoc quidem loco ipse poëta ὄμμα statim interpretatur: τοῦθ' ὁρᾶν τεκμήριον κ. τ. λ. Quod si omnes libri haberent ὄνομα, ego corrigerem ὄμμα. *Schæf.*]

Digitized by Google

κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ. πῶς γάρ; ἥ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀπλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν, οὔτε δρῶσ' ἐλάνθαν' ἄν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἄγ', ὦ φίλη, θάρσυνε τοῖς αὐτοῖσί τοι
οὐχ ὧὐτὸς αἰεὶ δαιμόνων παρασταθεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.

ΗΛ. φεῦ τῆς ἀνοίας. ὡς σ' ἐποικτείρω πάλαι.

ΧΡ. τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;

ΗΛ. οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρῃ.

ΧΡ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ', ἃ γ' εἶδον ἐμφανῶς;

ΗΛ. τέθνηκεν, ὦ τάλαινα· τἀκείνου δέ σοι
σωτῆρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.

ρασθαι τὰς κόμας δηλονότι. τὸ μὲν γὰρ ἀπὸ τῆς ὕψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν, γελοῖον. πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ, ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος, τὰ τοιαῦτα προσήκει.

914. ΤΟΙΑΤΤΑ ΠΡΑΣΣΕΙΝ. *τὰ ἐπὶ τῇ τιμῇ γιγνόμενα τοῦ πατρός.* ΤΑ'ΠΙΤΙΜΙΑ. *γράφεται* ΤΑ'ΓΛΑΙΣΜΑΤΑ.

919. ΤΠΑΡΞΕΙ ΚΤΡΟΣ. *ἐπιτυχίαν ἄρξει.*

914. οὔτε δρῶσ' ἐλάνθαν' ἄν. Sic ex indole linguæ omnino legendum. Solœce vel inepte vulgo *οὔτε δρῶσ' ἐλάνθανεν*, quod significaret Clytæmnestram fecisse id, quod plane fecisse neganda est. Ex vi sententiæ vertit Johnsonus, *neque, si fecisset, latuisset*, quem quidem sensum Græca ab Heathio dudum emendata fundunt. Nihil verius hac lectione, quidquid ogganiat Parisinus editor. Quam sæpe imperiti librarii potentialem ἄν omiserint, indices nostri ostendunt in Aristophanem et Sophoclem.

916. ἄγ', ὦ φίλη. Male vulgo legitur ἀλλ' ὦ φίλη. Istud ἀλλ' ab oscitante librario e præcedenti versu repetitum fuit. Valckenario obsecutus sum bene monenti ad Hippol. 288. θάρσυνε. Verbum hoc quod transitive solet adhiberi, hic neutrum est, et passive significat. Vide Musgravium ad Euripidis Rhesum 699. Heracl. 16. et quæ notavimus ad Or. 269. Bacchas 1041.

917. οὐχ ὡὐτὸς αἰεί. Perperam in libris οὐκ αὐτός. Vide ad Philoct. 521. Ut αὐτοῖσι, absque articulo τοῖς, nihil aliud significaret quam *illis, ipsis*, nequaquam vero accipi posset pro *iisdem*; ita αὐτὸς sine articulo nihil aliud esset quam *ille, ipse*, non vero, quod sententia flagitat, *idem*.

919. κῦρος. gl. βεβαίωσις.

921. πρὸς ἡδονήν. gl. ἡδέως καὶ τερπνῶς. Sic supra 369. πρὸς ὀργήν. Cum variis substantivis πρὸς adverbii vicem fungitur. Vide supra ad v. 464.

923. κάτοιδα. gl. ἀκριβῶς γιγνώσκω.

924. τἀκείνου, id est, τὰ ἐκείνου, ut ob crasin prima longa sit. Sic accurate scriptum est in codd. Perperam in impressis τὰ κείνου, metro ruente. Facillimam emendandi rationem Canterus fugisse miror, qui Var. Lect. iv. 29. τἀκ κείνου legendum decernit.

Digitized by Google

ΧΡ. οἵ μοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
ΗΛ. τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
ΧΡ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοι μ' ὑπέρχεται.
ΗΛ. κατ' οἶκον, ἡδὺς, οὐδὲ μητρὶ δυσχερής.
ΧΡ. οἵ μοι τάλαινα. τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν 930
τὰ πολλὰ πατρὸς πρὸς τέκνον πεφρίσματα;
ΗΛ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινά.
ΧΡ. ὦ δυστυχής. ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα 935
ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν, ἄλλα θ' εὑρίσκω κακά.
ΗΛ. οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δ' ἐμοὶ πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡ. ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ; 940
ΗΛ. οὐκ ἔσθ' ὅ γ' εἶπον· οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡ. τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;
ΗΛ. τλῆναί σε δρῶσαν ἃ 'γὼ παραινέσω.
ΧΡ. ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.
ΗΛ. ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ. 945
ΧΡ. ὁρῶ. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένῳ.

929. ΟΥΔΕ ΜΗΤΡΙ ΔΥΣΧΕΡΗΣ. ὃ ἐστιν, οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθεὶς, καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν. γράφεται καὶ ΜΗΤΡΙ ΔΥΣΜΕΝΗΣ.
933. ΜΝΗΜΕΙ' ΟΡΕΣΤΟΥ. τοῦ Ὀρέστου μνημόσυνα.
942. ΩΝ ΕΓΩ ΦΕΡΕΓΓΥΟΣ. ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλὴς εἰμι. φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτίσαι, οἷον ἀξιόχρεως; δυναμένη ἀναδέξασθαι.
944. ΕΙ ΤΙΣ ΩΦΕΛΕΙΑ. τοῦτο τῷ προτέρῳ ὅμοιον,
ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
945. ΕΥΤΥΧΕΙ. ἀντὶ τοῦ ἐπιτυγχάνεται.
946. ΣΥΝΟΙΣΩ. συμπονήσω. τοῦτο συνῳδὸν τῷ·
τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;

933. τινά. gl. ἄνθρωπον φίλον δηλαδή.
943. ἃ 'ν, id est, ἃ ἄν. In codd. sic fere scribi solet, ἃ'ν, quæ quidem scriptura melior. Quippe quum duæ voculæ per crasin in unam coalescant, geminato accentu usus non est. In codd. autem omnibus, etiam in Tricliniano, scriptum est, ut edidimus, ἃ'ν ἐγὼ παραινέσω, ut nesciam unde in Aldinam irrepserit pronomen σ', quod a male feriato homine insertum fuit sententiando versui, qui hoc fulcro non indiget. [τλῆναί σε δρῶσαν. V. Jacobs. ad Anthol. Græc. iii. 2. p. 388. et Wunderlich. Observat. Crit. in Æschyl. p. 152. s. Schaef.]
[945. πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.

Digitized by Google

ΗΛ. ἄκουε δὴ νῦν, ἢ βεβούλευμαι τελεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων
ὡς οὔ τις ἡμῖν ἐστίν, ἀλλ' Ἅιδης λαβὼν
ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.
ἔγωγ', ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντά γ' εἰσήκουον, εἶχον ἐλπίδας,
φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
νῦν δ' ἡνίκ' ὀρὸς ἔτ' ἐστίν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοικήσεις κτανεῖν,
Αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥάθυμος; ἐς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθήν; ἢ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
πάρεστι δ' ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα νηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέν τοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξει ποτ'· οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος, ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὐτῷ σαφῆ.

947. ΒΕΒΟΥΛΕΥΜΑΙ ΠΟΙΕΙΝ. γράφεται ΤΕΛΕΙΝ.
953. ΠΡΑΚΤΟΡΑ. ἐκδικον.
956. ΠΟΙ ΓΑΡ ΜΕΝΕΙΣ. ἀντὶ τοῦ, εἰς τίνα χρόνον.
964. ΟΥ ΓΑΡ ΩΔ' ΑΒΟΥΛΟΣ. προεισπεσοῦσα τὰ δεινὰ, τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστι.

"Hanc particulam in gnomis amant Tragici." Porsonus ad Euripid. Hecub. v. 232. *Schaef.*]

951. ἔγωγ'— Vulgo minus bene ἐγὼ δ'— Mox legitur in impressis, et plerisque codd. βίῳ θάλλοντά τ' εἰσήκουον. Copulæ non est locus, nisi post βίῳ distinguatur, hocque nude positum censeatur per ellipsin præpositionis ἐν, ut sit: ἕως εἰσήκουον τὸν κασίγνητον ἐν τῷ βίῳ, καὶ θάλλοντα. Et sic quidem glossa exponit. In Trach. 235. καὶ ζῶντα, καὶ θάλλοντα. Sed duriuscula videtur phrasis; idcirco prætuli lectionem cod. D. βίῳ θάλλοντά γ' εἰσήκουον. [ἐγὼ δ'. Brunckius ἔγωγ'. *Schaef.*]

953. πράκτορα. gl. ἀπαιτητὴν, ἐκδικητήν.

956. ὅπως μὴ κατοικήσεις. Sic liquido in membr. et in E. ad Attici sermonis normam. Solœce vulgo κατοικήσῃς. Legitimam particularum ὅπως μὴ cum futuro indicativi constructionem, sæpius a nobis adstructam, ignorarunt homines plerique, qui Græcos auctores notis onerarunt magis quam illustrarunt. Vide quas nugas agat Reitzius ad Luciani Anacharsidem p. 896. ubi legitur optime: καὶ ὅπως μὴ, καθάπερ νόμοις, προσέξεις οἷς ἂν λέγω πρὸς σέ.

962. ἄλεκτρα, ἀνυμέναια. Neutra pluralia pro adverbiis.

Digitized by Google

ἀλλ' ἦν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσει, τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλεῖ τὸ λοιπὸν, καὶ γάμων ἐπαξίων
τεύξει. φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγῳ γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν
τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται;
Ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,

975. ΤΙΣ ΓΑΡ ΠΟΤ' ΑΣΤΩΝ. ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικε τὰ ἀγαθὰ, ἅπερ αὐταῖς παρέσται, ἀνελούσαις τὸν Αἴγισθον· τὰ δὲ ἕτερα ὑπεξήρηκεν, ὁποῖα πείσονται ἀλοῦσαι. καίτοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ, ὁποῖα καὶ πρόσθεν ἔλεγεν· (921.) ὡς χάρις μὲν, ἂν θάνω, λάπτῃ δ', ἐὰν ζῶ. ἀλλ' ἥδει τὸ περίφοβον τῆς Χρυσοθέμιδος, ὥστε ἑκοῦσα τοὺς δειλοτέρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι.

977. ΙΔΕΣΘΕ ΤΩΔΕ. ἀντὶ τοῦ, τάσδε. ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἀρ-

[968. s. εὐσέβειαν—οἴσει. *pietatis laudem feres*. E contrario Antig. v. 924. τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην. *impietatis crimen pie agendo contraxi*, ut recte vertit Wunderlichius l. c. p. 65. *Schæf.*]

977. τώδε τὼ κασιγνήτω. Nihil notius hoc schemate. Vide Indicem in ΤΩ ΧΕΙΡΕ. Multus est ad Homeri versum in scholiis laudatum Clarkius, cujus in longiori nota vix quidquam est sani. Diversas loquendi formas confundit in quibus nihil est simile. Masculinus articulus cum feminino substantivo jungitur tantum in duali. τούτους de duabus feminis nemo Græce dixit. Pausaniæ locus qui laudatur in mendo cubat, et a Clarkio male fuit intellectus. De duobus Niobes liberis, quibus Latonæ pepercit ira, ibi agitur, Melibœa puella, cui Chloris inditum postmodo nomen, et Amycla, qui mas fuit, non femina. Hoc cum aliunde colligi potest, tum ex ipsius Pausaniæ loco p. 417. Χλωρὶς Ἀμφίονος θυγάτηρ μόνη λειφθεῖσα τοῦ οἴκου· σὺν δὲ αὐτῇ καὶ ἕνα περιγένεσθαί φασι τῶν ἀρσένων. Itaque de mare et puella agens rite dixit l. ii. cap. 21. ΤΟΥΤΟΥΣ δέ φασιν Ἀργεῖοι τὸ ἐξαρχῆς οἰκοδομῆσαι τῇ Λητοῖ τὸν ναὸν, quemadmodum paulo ante dicere debuit περιγενέσθαι δὲ ΕΥΞΑΜΕΝΟΥΣ τῇ Λητοῖ, ubi mendose ex librarii errore legitur εὐξαμένας. Diversum est schema, quum mulier de se ipsa loquens numero plurali, pronomine, vel adjectivo, vel participio masculino utitur, nunquam, apud Atticos saltem, feminino. De hoc schemate egimus ad Antig. 926. cujus exemplum est supra 399. Πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι. De se sola Electra loquitur. Hecuba apud Euripidem in cognomine fabula v. 511. quum ait οὐκ ἂρ' ὡς θανουμένους μετῆλθες ἡμᾶς; non *de se ipsa et filia* loquitur, ut falso tradit Clarkius, sed de se sola. Dicere non posset, nisi solœce admodum θανούμενον ἐμέ; et invenuste prorsus diceret θανουμένας ἡμᾶς. Exempla ubi ad νέκυς et νεκρὸς structura refertur, ἀπροσδιόνυσα sunt, quia *cadaver* sive maris sive feminæ, nihil unquam aliud est quam *cadaver*. Nec saniori judicio exemplum e Comici Concionantibus petitum, ubi mulieres viros se esse assimulantes et virorum persona loqui debent. Plautus *Quis ea est* bene dixit ætatis suæ more. Nam veteribus Latinis *quis* utriusque generis est, ut ablativus *qui*. θεὸς Græcis utriusque generis est, quorum ex imitatione Virgilius

Digitized by Google

ὦ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,
ὦ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
ψυχῆς ἀφειδήσαντε, προύστητον φόνου.
τούτῳ φιλεῖν χρὴ, τῷδε χρὴ πάντας σέβειν·
τῷδ' ἔν θ' ἑορταῖς, ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντας, οὕνεκ' ἀνδρείας, χρεών.—
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρὶ,
ξύγκαμνε δ' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμὲ,
παῦσον δὲ σαυτὴν, τοῦτο γιγνώσκουσ', ὅτι
ΖΗΙΝ ΑΙΣΧΡΟΝ ΑΙΣΧΡΩΣ ΤΟΙΣ ΚΑΛΩΣ ΠΕΦΥΚΟΣΙΝ.

ΧΟ. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος.

ΧΡ. καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὐτὴ μὴ κακῶν, ἐσώζετ' ἂν

θροις κέχρηται, ὅπερ σύνηθες Ἀττικοῖς. τὸ χεῖρε γάρ φασι. καὶ Ὅμηρος· (Ἰλ. ε'. 778.)

Τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.

ΠΡΟΎΤΣΤΗΤΗΝ ΦΟΝΟΥ. ἀντὶ τοῦ, αἵτινες προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν.

981. ΤΟΥΤΩ—ΤΩΔΕ. ἀντὶ τοῦ, ταύτας.

984. ΤΟΙΑΥΤΑ ΤΟΙ ΝΩ. ἤγουν οὕτως ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῶν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις.

990. ΕΝ ΤΟΙΣ ΤΟΙΟΥΤΟΙΣ. ὁ Χορὸς ὑπερτεθαυμακὼς τὸ τολμηρὸν τῆς Ἠλέκτρας φησὶν, ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας δεῖ τὰ τοιαῦτα καὶ λέγειν καὶ ἀκούειν.

993. ΕΣΩΖΕΤ' ΑΝ ΤΗΝ ΕΥΛΑΒΕΙΑΝ. οὐ σώζει, φησὶ, τὴν εὐλάβειαν· ἀλλ' ἔστι θρασεῖα καὶ ῥιψοκίνδυνος. ΤΟΙΟΥΤΟΝ ΘΡΑΣΟΣ ΑΤΤΗ Θ' ΟΠΑΙΖΗΙ. λίαν ἐμφαντικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν, εἰ μὴ μόνον θράσος. ΓΥΝΗ ΜΕΝ. ταῦτα πάντα ὅμοια τοῖς ἐν Ἀντιγόνῃ. εἴ τις παραβάλοι, εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα. ΣΘΕΝΕΙΣΕ Δ' ΕΛΑΤΤΟΝ. τοῦτο δεύτερον κεφάλαιον. ΔΑΙΜΩΝ ΔΕ. τὸ τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκὸς, τῆς τύχης μὴ συλλαμβανομένης. ΑΠΟΡΡΕΙ. ἐλαττοῦται, μαραίνεται.

dixit de Venere, *ducente Deo:* et hoc tamen nihil ad rem facit, siquidem ibi nulla est structuræ varietas, nec generis enallage, qualis in τῷδε κασιγνήτῳ. Nam sive *deo*, sive *dea* scripserit Virgilius, semper manserit *ducente*. Quam aliena ista omnia sint a schemate de quo hic agitur, ostendere volui, quia ista Clarkii nota sæpe doctos viros abusos fuisse animadverti; quo insulsissimas conjecturas, seu vitii manifestas lectiones tucrentur. Vide quæ notavi ad Antig. 986.

979. εὖ βεβηκόσιν. Hesychius: εὖ βεβηκότι, εὐσταθεῖ.

988. οὕνεκ' ἀνδρείας. Sic scriptum est etiam in Triclinii recensione. Turnebus tamen dedit ἀνδρίας.

985. [μὴ 'κλιπεῖν. Perperam in veteribus codd. μὴ λιπεῖν, vera lectione glossæ loco superscripta ἐκλιπεῖν.

[993. αὖτη. Vulgo αὐτὴ. *Schaef.*]

Digitized by Google

τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σώζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζῃ, κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐκ ἀνὴρ ἔφυς·
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ, κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν, τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα, κακῶς πράσσοντε μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ' ἐπωφελεῖ,
βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν·
οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις, εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν·
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι·
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτὲ,
σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκάθειν.
ΧΟ. *πιθοῦ. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ

* πείθου ed. 1. 2.

1005. ΛΥΕΙ ΓΑΡ ΗΜΑΣ ΟΥΔΕΝ. οὐ λυσιτελεῖ γὰρ ἡμῖν, φησίν· οὐκ ἀπαλλάσσει τῶν κακῶν. ἢ ἀντὶ τοῦ, οὐδὲν ἡμᾶς ἐκλύσεται. ΔΥΣΚΛΕΩΣ ΘΑΝΕΙΝ. ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ Ὅμηρος· (Ὀδ. χ'. 462.)

Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλείμην.

1007. ΑΛΛ' ΟΤΑΝ ΘΑΝΕΙΝ ΧΡΗΖΩΝ. ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς. ΕΙΤΑ ΜΗΔΕ ΤΟΥΤ' ΕΧΗι ΛΑΒΕΙΝ. οὐ τὸ τοῦ θανάτου δεινὸν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ. τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος.

994. τὴν εὐλάβειαν. gl. τὴν αἰδῶ τὴν ἑαυτῆς.

997. οὐκ ἀνήρ. Sic bene in D. ut et in Triclinii recensione. In ceteris, ut apud Aldum, οὐδ' ἀνήρ. Mox χερὶ codd. omnium, præter Triclinii, lectio est. Perperam in libris ἔλαττον.

1005. λύει, subaudito τέλη, λυσιτελεῖ. Plene dixit in Œdipo T. 316. ἔνθα μὴ τέλη λύει. Nude sic posito λύει utitur Euripides Medea 571. 1112. 1362. Alcestide 639.

1007. ὅταν θανεῖν χρῄζων τις. Ex vi sententiæ intelligitur supplendum esse adverbium εὐκλεῶς.

1015. πιθοῦ. Sic recte in C. In aliis libris πείθου minus Attice.

Digitized by Google

κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.
ΗΛ. ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ἤδη σ' ἀπορρίψουσαν ἐκπηγγελλόμην.
ἀλλ' αὐτοχειρί μοι, μόνη τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κεναν γ' ἀφήσομεν.
ΧΡ. φεῦ·
εἶθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
θνήσκοντος, εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.
ΗΛ. ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἧσσον τότε.
ΧΡ. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ. ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε.
ΧΡ. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.
ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
ΧΡ. ἀνέξομαι κλύουσα, χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.
ΧΡ. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.
ΗΛ. ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
ΧΡ. ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.

1018. ΑΠΗΓΓΕΛΛΟΜΗΝ. ἀντὶ τοῦ, ἃ ἤθελον. τὸ δὲ παρακαλεῖν, ἐπαγγέλλειν φησίν. ΑΛΛ' ΑΥΤΟΧΕΙΡΙ ΜΟΙ. παρατήρει πάνυ θάδε τὴν εὐτολμίαν, ὡς καὶ ἐν Ἀντιγόνῃ.

1026. ΕΙΚΟΣ ΓΑΡ ΕΓΧΕΙΡΟΥΝΤΑ. εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα, καὶ πάσχειν κακῶς. τοῦτο δὲ Πινδαρικόν· (Νεμ. δ'. 51.) ἐπεὶ βέζοντά τι καὶ παθεῖν ἔοικεν.

1028. ΧΩΤΑΝ ΕΥ ΛΕΓΗΣ. οἷον ἔσται καιρὸς, ὅτε με εὐφημήσεις· ἤτοι πεισθήσομαι καὶ ἐπαινέσω σε, ὅταν εὖ λέγῃς.

1018. ἤδη. Perperam in codd. et in impressis ἤδειν. Vide ad Œd. T. 433. Librorum veterum auctoritas hic si desideraretur, confirmari posset nostra lectio scriptura codicis Eclogarum nominum Atticorum Thomæ Mag. in quo legitur ἤδη. Idem Grammaticus ἐπαγγέλλεσθαι hic αἰτεῖν significare declarat, quo sensu verbum illud adhibuit Xenophon Memorab. Socratis i. 2. 8. Σωκράτης δ' ἐπηγγείλατο μὲν οὐδενὶ πάντων τοιοῦτον οὐδέν. ubi a sensu plane aberravit interpres.

[1019. αὐτόχειρί. Brunckius αὐτοχειρί. V. Porson. ad Euripid. Orest. v. 1037. *Schaef.*]

1022. πᾶν γὰρ ἂν κατειργάσω. Aldus πάντα γὰρ κατειργάσω, et sic codd. ad unum omnes. In solo C. sinceræ lectionis remansit vestigium: πάντα γὰρ ἂν κατειργάσω. Perperam πάντα scriptum fuit pro πᾶν, qui admissus error alteri ortum dedit, nempe ut extruderetur metro officiens, particula ἄν, quæ, salvo sensu, per linguæ indolem abesse non potest. Nam πάντα κατειργάσω nihil aliud valet, quam *omnia confecisti:* neutiquam vero *omnia confecisses.* Vide supra ad v. 914. et quæ notavi ad Æschyli Prom. 622.

1026. πράσσειν. Sic emendate scriptum in membr. E. et meo. Perperam Aldus πράττειν.

1029. μὴ πάθῃς. Sic optime mem-

Digitized by Google

ΗΛ. ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
ΧΡ. οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω γ' οἵ μ' ἀτιμίας ἄγεις. 1035
ΧΡ. ἀτιμίας μὲν οὔ, προμηθείας δέ σου.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
ΧΡ. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.
ΗΛ. ἦ δεινὸν, εὖ λέγουσαν ἐξαμαρτάνειν.
ΧΡ. εἴρηκας ὀρθῶς, ᾧ σου προὔσκεισαι κακῷ. 1040
ΗΛ. τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡ. ἀλλ' ἔστιν, ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε. 1045
ΧΡ. καὶ τοῦτ' ἀληθὲς, οὐδὲ βουλεύσει πάλιν;
ΗΛ. βουλῆς γάρ ἐστιν οὐδὲν ἔχθιον κακῆς.
ΧΡ. φρονεῖν ἔοικας οὐδέν, ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.
ΧΡ. ἄπειμι τοίνυν. οὔτε γὰρ σὺ τἄμ' ἔπη 1050
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἶσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
ΧΡ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι 1055

1036. ΑΤΙΜΙΑΣ ΜΕΝ ΟΥ. οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου.
1039. Η ΔΕΙΝΟΝ ΕΤ ΛΕΓΟΥΣΑΝ. δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ἐξαμαρτάνειν. ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρὸς, πρὸς τοῦτο ἡ Ἠλέκτρα· Δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν, ἄδικα πράσσειν καὶ ἁμαρτάνειν· ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ· ΕΙΡΗΚΑΣ ΟΡΘΩΣ Ὡι ΣΥ ΠΡΟΣΚΕΙΣΑΙ ΚΑΚΩι. τῷ ἁμαρτάνειν. λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις. ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν.
1044. ΑΛΛ' ΕΙ ΠΟΙΗΣΕΙΣ ΤΑΥΤΑ. οἷον, τοῖς δεινοῖς περιπεσοῦσα, ἐπαινέσεις με σύμφορά σοι βουλεύσασαν.
1046. ΠΑΛΙΝ. εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον.
1052. ΜΕΘΕΨΟΜΑΙ. ἀντὶ τοῦ κοινωνήσω.

br. et E. estque in D. etiam hæc lectio alteri inde depravatæ *μάθῃς* superscripta. Sic apud Comicum sæpe scriptum *τί μαθών*; ubi oportuit *τί παθών*;

[1033. *μητρὶ—σῇ.* Hoc *σῇ* magna cum vi additum. *matri te dignæ. Schæf.*]

1047. *ἐστιν οὐδὲν*—Hoc ordine collocatæ voces in D. concinnius quam in aliis *οὐδέν ἐστιν*.

1053. *ἢν τυγχάνῃς.* Sic Aldus et codd. veteres recte. In Triclinii recensione scriptum *εἰ τυγχάνεις.*

Digitized by Google

Φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔτη.

ΧΟΡΟΣ.

Τί τοὺς ἄνωθεν φρονιμωτάτους — στροφὴ ά.
οἰωνοὺς ἐσορώμενοι
τροφᾶς κηδομένους, ἀφ' ὧν τε
βλαστῶσιν, ἀφ' ὧν τ' ὄνασιν εὕρω-
σι, τάδ' οὐκ ἔπ' ἴσας τελοῦμεν;
ἀλλ', οὐ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δαρὸν οὐκ ἀποίνητοι.

1056. ΟΤΑΝ ΓΑΡ ΕΝ ΚΑΚΟΙΣ. *παρὰ τὸ 'Ομηρικόν* (Ἰλ. ρ'. 32.) *ῥεχθὲν δέ τε νήπιος ἔγνω.*

1058. *τὸ* ΑΝΩΘΕΝ *ἢ τόπου, ἢ χρόνου ἐστίν. ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἄνω. οἰκεῖον δὲ τῷ Χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ* Κλυταιμνήστρᾳ, *τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία· ἡ δὲ* Κλυταιμνήστρα ἀστοργος. *τὸ δὲ ἐξῆς· Τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς, ἀφ' ὅτων τε ἂν βλαστῶσι, καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν· ἐπὶ τῶν τέκνων τὰ δύο· ἀφ' ὧν τ' αὐτοῖς βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσι. λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς, ἕως ὅτου πτεροφυήσωσι.* ΤΕΛΟΥΜΕΝ. *καλῶς ὁ Χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις, καθ' ὧν τὸν λόγον πεποίηται.*

1065. ΟΥΚ ΑΠΟΝΗΤΟΙ. *ἀντὶ τοῦ, οὐκ ἐπὶ πολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισ-*

1060. *τροφᾶς κηδομένους, ἀφ' ὧν*—Id est *τῆς τροφῆς ἐκείνων, ἀφ' ὧν*—In meo scriptum *τροφὰς*, et in margine *τροφούς*. Unde olim non male conjecisse mihi videbar *τροφῶν, parentum*. Postmodo nihil mutandum esse vidi. [*τροφᾶς κηδομένους*. Subaudi *τούτοις*. Homerus Od. xxiv. v. 286. *ἡ γὰρ θέμις, ὅστις ὑπάρξῃ*. Poëmatium in Herodoti Libello de Vita Homeri p. 753, 97. *δεινὴ γὰρ μέτ' ὄπις ξενίου Διός, ὅς κ' ἀλίτηται*. Sophocles Ajac. v. 1050. *δοκοῦντ' ἐμοὶ, δοκοῦντά θ', ὡς καίνει στρατοῦ*. Ænigma Sphingis: *ἀλλάσσει δὲ φύην μόνον, ὅσσ' ἐπὶ γαῖαν Ἕρπετὰ κινεῖται*—. Alia collegi ad L. Bos. de Ellips. p. 364. Add. Heindorf. ad Platon. Phædr. p. 221. Eodem modo Latini scriptores. Livius i. c. 32. 8. *hæc, quicunque ei primus vir obvius fuerit,—peragit. Schæf.*]

1061. *ὄνασιν*. Dorismum in hac voce usitatam restitui. Minus bene in libris *ὄνησιν*. [*βλάστωσιν*. Vulgo *βλαστῶσιν*.—*εὕρωσι*. Infra v. 1305. *μέγ' εὑρεῖν κέρδος*. Trachin. v. 284. *ἐξ ὀλβίων ἄξηλον εὑροῦσαι βίον*. Hæc similiaque exempla recte opponas canoni Ammonii p. 61. ed. Valcken. Fallitur igitur Dawesius Miscell. Crit. p. 255. cui Pindaricum exemplum Pyth. ii. v. 118. (ubi conf. Heyn.) opponit Vauvillersius in *Notices et Extraits des Manuscrits de la Bibliothèque du Roi*, T. i. p. 329. Quamquam medii usus longe frequentior. In Pausania ii, 22, 5. corrig. *Ἥρα μὲν δὴ παρὰ Ποσειδῶνος εὔρετο ἀπελθεῖν ὀπίσω τὴν θάλασσαν. Schæf.*]

1063. In Aldina et in veteribus codd. *οὐ μὰ τὰν*—Verum *μὰ* non admittit metrum, et salva phrasi abesse potest. Vide ad Œd. T. 660.

1065. *δαρὸν οὐκ ἀποίνητοι*. Aldus et codd. omnes veteres ad unum habent *δαρὸν οὐκ ἀπόνητοι*. In D. *ἀποίνητοι*, cum

Digitized by Google

ὦ χθονία βροτοῖσι φάμα,
κατά μοι βόασον οἰκτρὰν
ὅτα τοῖς ἔνερθ' Ἀτρείδαις,
ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφίσ' ἤδη τὰ μὲν ἐκ δόμων ἀντιστρ. α'. 1070
νοσεῖ· τὰ δὲ πρὸς τέκνων
διπλῆ φύλοπις οὐκ ἔτ' ἐξι-
σοῦται φιλοτασίῳ διαίτᾳ.
πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεί, πατρὸς 1075
δειλαία, στενάχουσ', ὅπως

θον καὶ Κλυταιμνήστραν. Ω ΧΘΟΝΙΑ. οὐ τὴν ἐπίγειόν φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην. ΤΟΙΣ ΕΝΕΡΘ' ΑΤΡΕΙΔΑΙΣ. ἢ Ἀγαμέμνονα, ἢ Ὀρέστην. δοκοῦσι γὰρ αὐτὸν τεθνηκέναι. ΑΧΟΡΕΥΤΑ. ἐφ' οἷς οὐκ ἄν τις χορεύσειεν. ΟΝΕΙΔΗ δὲ, τὰ πένθιμα ὀνείδη· ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστῃ.

1070. ΟΤΙ ΣΦΙΣΙΝ ΗΔΗ. ἡ ἀπόστασις πρὸς τὴν Κλυταιμνήστραν. ἄγγελον οὖν, φησὶν, ὅτι τὰ κατ' οἶκον νενόσηκε, καὶ οὐκ ἔστιν ὑγιῆ. ΟΥΚ ΕΤ' ΕΞΙΣΟΥΤΑΙ. οὐκ ἔτι ἴσα φρονοῦσιν, ὡς ἐν φιλίᾳ διαιτώμεναι· ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας. ΣΑΛΕΥΕΙ. κινδυνεύει· ἐκ μεταφορᾶς τῶν νηῶν. μόνη δὲ αὕτη ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας.

1075. ΤΟΝ ΑΕΙ ΠΑΤΡΟΣ. λείπει ἡ περί· περὶ τοῦ πατρὸς στενάχουσα, ὡς τὸ Ὁμηρικόν· (Ἰλ. χ'. 424.)

Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
ὡς ἑνός.

τὸ δὲ ἑξῆς· ἀεὶ τὸν τοῦ πατρὸς μόρον στενάχουσα, ἢ ΤΟΝ ΑΕΙ, εἰς τὸν ἀεὶ χρόνον.

glossa, ἀτιμώρητοι. Triclinii interpolatio est, quam Turnebus repræsentavit, δαρὸν γὰρ οὐκ ἀπόνητοι. Superscripta in cod. glossa: ἄλυποι, ἀτιμώρητοι. ἔσονται δηλονότι οἱ τοιοῦτοι. Nec particulam γὰρ, nec ἄρ', quam illi substituit Canterus, liber ullus antiquus agnoscit. ἀπολύητοι primum comparuit in editione Juntina, unde hanc lectionem revocavit H. Stephanus, et merito quidem: est enim altera probabilior. Sed sive ἀπόνητοι, sive ἀπολύητοι legatur, nunquam hic versus alieni mangonii expers cum antistrophico congruet, qui trimeter est dactylicus: Ἀ παν-ό-δυρτος ἀηδών. Nugatur enim cum magistro suo, qui Heathii notam in pauciora verba contraxit Parisinus editor, primam in ἀηδὼν produci affirmans. Metra sibi invicem respondere non possunt, nisi legatur: Δαρὸν ἄρ' οὐκ ἀπόνητοι. Nec sane video qui hac scriptura corrumpatur sententia: *haud longe aberit, quum laboribus et molestiis exercebuntur.*

1067. κατά μοι βόασον. Abundat μοι, ut sæpe, eleganter.

1070. σφίσ' ἤδη. Perperam in Aldina et veteribus codd. σφίσιν. In D. σφίσι γ'. [F. σφὶν ἤδη. *Schæf.*]

1071. νοσεῖ. Sic libri veteres omnes. Triclinius æquandi metrorum studio νοσεῖ δή.

1075. τὸν ἀεὶ, subauditur χρόνον. Genitivus πατρὸς non ab ullo substantivo librariorum errore omisso, vel extrinsecus arcessendo pendet, verum ab adjectivo δειλαία, vel, si mavis, a suppresso ἕνεκα. Sic infra 1209. ἆ τάλαιν' ἐγὼ σέθεν. Nimis stolide futilem Heathii conjecturam olim receperam, Ἠλέκτρα, οἶκτον ἀεὶ πατρὸς δειλαία στενάχουσ'. Glossæ in codd. τὸν ἀεὶ. χρόνον δηλονότι. δειλαία ἕνεκεν πατρός.

Digitized by Google

ἀ πανόδυρτος ἀηδὼν,
οὔτε τι τοῦ θανεῖν προμηθὴς,
τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ' ἐριννύν.
τίς ἂν εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν, ζῶν κακῶς, στροφὴ β'.
εὔκλειαν αἰσχύναι θέλει
νώνυμος, ὦ παῖ, παῖ,
ὡς καὶ σὺ πάγκλαυστον αἰ-
ῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα,
δύο φέρειν ἐν ἑνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζώης μοι καθύπερθεν χερὶ, ἀντιστρ. β'.
πλούτῳ τε, τῶν ἐχθρῶν, ὅσον
νῦν ὑπὸ χεῖρα ναίεις·
ἐπεί σ' ἐφεύρηκα μοί-

1078. ΟΥΤΕ ΤΙ ΤΟΥ ΘΑΝΕΙΝ ΠΡΟΜΗΘΗΣ. πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν, ὅ ἐστιν ἀφειδοῦσα τῆς ἰδίας ψυχῆς, καὶ ῥιψοκινδυνοῦσα. ΤΟ ΤΕ ΜΗ ΒΛΕΠΕΙΝ ΕΤΟΙΜΑ. ἑτοίμη καὶ τῆς ὄψεως στέρεσθαι, τουτέστιν ἀποστερηθῆναι τῶν ὀμμάτων· ἀντὶ τοῦ, καὶ ἀποθανεῖν ἑτοίμη, καὶ ζῶσα κολάζεσθαι. καὶ τοῦτο λέγει ΔΙΑΤΜΗΝ ΕΡΙΝΝΥΝ. ἢ ἐπὶ τοῦ θανάτου τὰ δύο· ἑτοίμη μὴ βλέπειν αὐτοὺς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου, ἐν τῇ αὐτῇ ἐριννύϊ γενομένη τῷ Ἀγαμέμνονι, ὅ ἐστι δικλῆ ἐριννύς. Ἄλλως. ΔΙΑΤΜΑΝ ΕΡΙΝΝΥΝ. Αἴγισθον καὶ Κλυταιμνήστραν.

1084. ΝΩΝΥΜΝΟΣ. νωνυμος τῆς εὐκλείας θέλων γενέσθαι. ΩΣ ΚΑΙ ΣΥ. οὕτω καὶ σὺ, ὦ παῖ, εἵλου τὸν αἰῶνα πάγκλαυτον. ΚΟΙΝΟΝ. διηνεκῆ καὶ κοινὸν ἐπὶ πάντας αἰῶνος ἑαυτῆς. ΚΑΘΟΠΛΙΣΑΣΑ. καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα· οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη.

1078. *τοῦ θανεῖν.* Perperam Eustathius, cujus locum protuli ad Œd. T. 58. legit *τοῦ μὴ θανεῖν.*

1081. *τίς ἂν εὔπατρις.* Aldus et veteres codd. male *τίς ἂν οὖν.*

1087. *τὸ μὴ καλὸν καθοπλίσασα,* id est *καταπολεμήσασα,* ut recte Scholiastes exponit. Ea est librorum omnium lectio, cujus loco Heathius legendum censet *καθοπλισαμένα,* quia supra v. 996. *θράσος ὁπλίζεσθαι* dicta fuit Electra. Verum ibi vi reciproca verbi medii *ὁπλίζῃ* significat *induis,* quod ab hujus loci sententia quantum potest maxime alienum est. Verbo activo et transitivo opus est. Pudet me tam insulsis conjecturis Tragicum olim adulterasse. Paulo ante *πάγκλαυστον* Aldus et codd. habent veteres. Vide ad Trach. 652.

1088. *δύο φέρειν ἐν ἑνὶ λόγῳ.* Aldus et codd. veteres præpositionem *ἐν* omittunt, quam metro flagitante reposui. Absorpta fuerat a sequenti voce, quod confirmat glossa *ἐν μιᾷ φήμῃ.* Triclinius inficete *ἑνί γε λόγῳ.*

1091. *πλούτῳ τε.* Perperam Aldus et plerique veteres libri *καὶ πλούτῳ,*

Digitized by Google

ρα μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε
νόμιμα, τῶνδε φερομέναν
ἄριστα τᾷ Διὸς εὐσεβείᾳ.
ΟΡ. Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν,
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρήζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;
ΟΡ. Αἴγισθον, ἔνθ' ᾤκησεν, ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις, χἀ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἵ μοι τάλαιν'. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλ' ἐμοὶ γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὡς μ' ὑπέρχεται φόβος.
ΟΡ. φέροντες αὐτοῦ μικρὰ λείψαν' ἐν βραχεῖ

1095. Α ΔΕ ΜΕΓΙΣΤ' ΕΒΛΑΣΤΕ. ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ΑΡΙΣΤΑ. ἢ ΕΡΙΣΤΑι, ἀμφορίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ Διός· ἢ ἐριστῇ τῇ εὐσεβείᾳ, ἥ ἂν τις ἐρίσειεν, ἀντὶ τοῦ περιστουδάστῳ προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα, ἀντὶ τοῦ, μετὰ εὐσεβείας πράττουσαν. ΤΑι ΔΙΟΣ. γράφεται ΖΗΝΟΣ.

1098. ΑΡ' Ω ΓΥΝΑΙΚΕΣ. Ὀρέστης πάρεστι σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὄντων ἑαυτοῦ. θαυμαστὴ δὲ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα, ἵνα εὔλογος πρόφασις γένηται τῆς παρόδου τῷ Ὀρέστῃ, καὶ παρ' αὐτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους.

1101. ΙΣΤΟΡΩ. γράφεται ΜΑΣΤΕΤΩ.

1102. ΑΖΗΜΙΟΣ. ἀληθὴς καὶ οὐκ ὀπέχων ζημίαν τοῦ ψεύδους.

1094. ἐν ἐσθλᾷ. Sic Aldus et codd. plerique: in aliis ἐπ' ἐσθλᾷ: quidam neutram præpositionem habent. Supra 1056. ὅταν ἐν κακοῖς ἤδη βεβήκῃς.

1097. τᾷ Διός. Sic libri omnes veteres. Triclinii imperita audacia Ζηνὸς substituit, pessum dato metro. [Ζηνός. Bruncius Διός. V. Porson. ad Eurip. Orest. v. 1700. Schæf.]

1102. εὖ θ' ἱκάνεις. Sic codd. omnes, etiam Triclinii recensio. Turnebus tamen edidit εὖ γ'—

1107. Φωκῆς. Vulgo Φοκεῖς. Illud reposuimus etiam infra v. 1442.

1111. ἐφεῖτο. gl. ἐνετείλατο. Vide ad Philoct. 619.

[1113. s. φέροντες — κομίζομεν. Discas ex hoc loco, quantopere usus participii φέρων Græcis placuerit. Schæf.]

Digitized by Google

τεύχει θανόντος, ὡς ὁρᾷς, νομίζομεν.
ΗΛ. οἵ ἐγὼ τάλαινα, τοῦτ' ἐκεῖν' ἤδη σαφές.
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛ. ὦ ξεῖνε, δός νυν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, ἐς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
ΟΡ. δόθ', ἥτις ἐστί, προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε·
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.
ΗΛ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοί,
ψυχῆς Ὀρέστου λοιπόν, ὥς σ' ἀπ' ἐλπίδων,
οὐχ ὥνπερ ἐξέπεμπον, εἰσδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν·
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι, χεροῖν
κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκειso τῇ τάθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·

1117. ΕΠΕΡ ΤΙ ΚΛΑΙΕΙΣ. ἀξιοπίστως ἄγαν Ὀρέστης σκληρός ἐστιν, οὐχ οἷον δεῖ ἄγγελον εἶναι, καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε.
1123. ΔΟΘ'. εἰκὸς αὐτοῖς ἔπεσθαί τινας. περιπαθῶς δὲ λίαν τὸ Η ΤΙΣ ΕΣΤΙ.
1127. ΨΥΧΗΣ ΟΡΕΣΤΟΥ ΛΟΙΠΟΝ. λοιπὸν μνημεῖον. τοῦτο δέ φησι λαβοῦσα τὸ τεῦχος. ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει, λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. ΟΥΧ ΩΝΠΕΡ ΕΞΕΠΕΜΠΟΝ. Ὅμηρος· (Ἰλ. τ'. 288.)
Ζωὸν μέν σ' ἔλιπον ἐγὼ, κλισίηθεν ἰοῦσα.
1137. ΣΗΣ ΚΑΣΙΓΝΗΤΗΣ ΔΙΧΑ. οἷον τῆς μόνης σου κηδομένης. ὅλα δὲ ἐπιτέταται τῷ πάθει, διὰ τὸ παρεῖναι τὸν Ὀρέστην· ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ παρ' Ὁμήρῳ, ἐν οἷς φησί· (Ὀδ. τ'. 209.) Κλαιούσης ἐὸν ἄνδρα παρήμενον. ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι, ὅτι ἀδελφὴ αὐτοῦ ἐστὶν ἡ ἐν τῷ λόγῳ. ἀγνοῶν γὰρ αὐτὴν Ὀρέστης, ἀπολοφυρομένην γνώσεται.

1124. τάδε. Sic Aldus et veteres codd. Triclinius substituit τόδε.
1127. ὅς σ' ἀπ' ἐλπίδων. Omissum librariorum errore, ut videtur, pronomen restitui.
1134. ὅπως ἔκεισο, ut jaceres. Vide quæ notavimus ad Œd. T. 1392.

Digitized by Google

κοὔτ' ἐν φίλησι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος.
ἀλλ' ἐν ξένησι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς κροσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἵ μοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος·
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντα σὺν σοί. πάντα γὰρ ξυναρπάσας,
θύελλ' ὅπως, βέβηκας. οἴχεται πατήρ·
τέθνηκ' ἐγώ σοι· φροῦδος αὐτὸς εἶ θανών.
γελῶσι δ' ἐχθροί· μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες, ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδ' ἐμοὶ προὔπεμψεν, ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἵ μοι μοι.

1145. ΟΥΤΕ ΓΑΡ ΠΟΤΕ. οὐ γὰρ ἦς, φησὶ, τῆς μητρὸς ποτὲ ἡ καὶ ἐμοῦ μᾶλλον, ἵνα ἐπὶ τοῦ ΗΣΘΑ διαστείλωμεν. οὐκ ἦσθα τῆς μητρὸς, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ. οἷον ἐγώ σοι μᾶλλον ἤμην μήτηρ, ἤπερ ἡ Κλυταιμνήστρα. τὸ δὲ ΦΙΛΟΣ, ἀντὶ τοῦ ὄφελος. Ἄλλως. οὐκ ἦς τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ· ἀντὶ τοῦ, οὐ τῇ μητρὶ προσέκεισο μᾶλλον. ἄμεινον δὲ τὸ ἕτερον διὰ τὴν ἡλικίαν τοῦ Ὀρέστου, ἐφ' ᾗ τὸ φίλον εἶναι αὐτὸν, καὶ διακρίνειν τινὰ τότε οὐκ ἐνεχώρει. μικρὸς γὰρ ἦν,

1138. φίλησι. Sic procul dubio scribi debuit, ut paulo infra ξένησι. In codd. φίλαισι. August. tamen φίλεσι, quod ex forma a nobis reposita depravatum videri possit. Vide notam ad Comici Ranas 1211.

1148. ἀδελφὴ σοὶ προσηυδώμην. Sic membr. et alii codd. veteres. Glossa, ὑπὸ σοῦ. Mendose Aldus edidit ἀδελφὴ σή.

1150. θανόντα σὺν σοί. Aldus et plerique codd. θανόντι. Alterum habet meus: et a prima manu D. præter Triclinii recensionem, quod præfero. Euripides Herc. Fur. 69. Καὶ νῦν ἐκεῖνα μὲν θανόντ' ἀνέπτατο. Idem Temenidis:—κακοῖσι δὲ Ἅπαντα φροῦδα συνθανόντ' ὑπὸ χθονός.

1160. In digerendis tribus his versiculis Aldinam secutus sum, cui concinunt codd. veteres plerique. In D. aliter digesti sunt, ut videtur quidem, haud

Digitized by Google

ὦ δέμας οἰκτρόν. φεῦ, φεῦ.
ὦ δεινοτάτας, οἵ μοι μοι,
πεμφθεὶς πελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδέν, εἰς τὸ μηδέν, ὡς ξὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
ΧΟ. θνητοῦ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.
ΟΡ. φεῦ, φεῦ. τί λέξω; ποῖ, λόγων ἀμηχανῶν,
ἔλθω; κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω.
ΗΛ. τί δ' ἔσχες ἄλγος; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ΟΡ. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ. τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ. οἵ μοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ΗΛ. τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
ΟΡ. ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛ. οὔ τοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
ΟΡ. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.

1171. ΘΝΗΤΟΥ ΠΕΦΥΚΑΣ ΠΑΤΡΟΣ, ΗΛΕΚΤΡΑ. *πιθανῶς πρόσκειται τὸ ὄνομα τῆς Ἠλέκτρας, ἵνα μάθῃ Ὀρέστης. οὐ γὰρ μόνῃ ἦν αὐτῷ ἀδελφή. τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ Χορὸς ἐν τῇ παρηγορίᾳ.*

1174. ΦΕΥ ΦΕΥ ΤΙ ΛΕΞΩ. *ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην. διεφθάρη γὰρ τὸ συνεκτικὸν τῆς ὑποθέσεως, σιωπῶντος αὐτοῦ.* ΓΛΩΣΣΗΣ. *γράφεται* ΓΝΩΜΗΣ.

1178. ΤΟΔ' ΕΣΤ' ΕΚΕΙΝΟ. *τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ Χορῷ περίκειται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς εἴδους εἴπῃ τι. θαυμαστῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν· οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν, διὰ τὸ κεκακῶσθαι τὸ σῶμα.*

deterius, Οἵ μοι μοι· δέμας οἰκτρόν· φεῦ, φεῦ. Ὦ δεινοτάτας, οἵ μοι μοι, Dimetri anapæstici sunt, quorum alter parœmiacus.

1168. ξὺν σοί. Sic Aldus et codd. omnes, etiam Triclinii recensio. Turnebus tamen edidit ξὺν τοί, quem errorem nullus subsequentium editorum correxit. Vide supra ad v. 378.

1174. ἀμηχανῶν participium est. Perperam pro nomine acceptum fuit, accentu secus ac oportuerat notato. In C. recte scriptum ἀμηχανῶν.

Digitized by Google

ΗΛ. τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
ΟΡ. ὡς οὐκ ἄρ' ἤδη τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛ. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡ. ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσι.
ΗΛ. καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ. καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΛ. ὅθ' οὕνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡ. τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛ. τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡ. τίς γάρ σ' ἀνάγκη τῇδε προτρέπει βροτῶν;
ΗΛ. μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡ. τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
ΗΛ. καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
ΟΡ. οὔδ' ὑπαρήξων, οὔθ' ὁ κωλύσων πάρα;
ΗΛ. οὐ δῆθ'. ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.
ΟΡ. ὦ δύστοτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛ. μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡ. μόνος γὰρ ἦκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ΗΛ. οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡ. ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.

1184. ΩΔ' ΕΠΙΣΚΟΠΩΝ ΣΤΕΝΕΙΣ. *ἀντὶ τοῦ, ἀμφ' ἐμοὶ καθορῶν στενάζεις.*
1186. ΕΝ ΤΩΙ ΔΙΕΓΝΩΣ. *ἐν τίνι; ἢ διὰ τί; ποίῳ λόγῳ εἰρημένῳ τοῦτον συνῆψας τὸν λόγον;*
1193. ΤΗΙΔΕ. *εἰς τοῦτο.*
1194. ΜΗΤΡΙ Δ' ΟΤΔΕΝ ΕΞΙΣΟΙ. *οὐκ ἴσα πράττει τῷ τῆς μητρὸς ὀνόματι.*

1185. ἤδη. Perperam vulgo ἤδειν.
1186. ἐν abundat, ut supra 1141. et passim.
1189. τῶνδ' ἔτ' ἐχθίω. Sic liquido scriptum in meo codice, ut scribi debuisse monuit Canterus, quod nemo non videre poterat. Male vulgo τῶνδέ τ' ἐχθίω.
1194. ἐξισοῖ neutrum significatione passiva, ut Œd. T. 425.
[οὔθ' ὑπαρήξων, vitio excusum fuit me nolente et imprudente: legendum οὐδ', ut est in omnibus libris: rectum est quod sequitur οὔθ' ὁ κωλύσων, quod in plerisque veteribus libris depravatum est, in quibus οὐδ' geminatur.]
1200. ἐποικτείρας ποτέ. In D. ἐμέ.
[1201. τοῖσι σοῖς ἀλγῶν κακοῖς. *ob tua mala dolores sentiens.* Erfurdtii conjectura, τοῖς ἴσοις, speciosior est quam verior. Qui ἐποικτείρει, non continuo idem ἀλγεῖ. Sæpe enim commovemur *misericordia*, etiamsi non veniamus in societatem *dolorum*. Adde quod Electræ quæ sequitur interrogatio, οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν; parum videtur quadrare, si vulgatam scripturam deserimus. Orestes ut Electræ videretur ξυγγενὴς, debuit ἀλγεῖν, non τοῖς ἴσοις κακοῖς, *malis perinde gravibus*, quod cujusvis esse potuisset; sed τοῖς ἐκείνης κακοῖς. *Schæf.*]

Digitized by Google

ΗΛ. ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡ. μίσθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛ. μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡ. πιθοῦ λέγοντι, κοὐχ ἁμαρτήσει ποτέ.
ΗΛ. μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡ. οὔ φημ' ἐάσειν.
ΗΛ. ὦ τάλαιν' ἐγὼ σέθεν,
'Ορέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡ. εὔφημα φώνει. πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡ. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡ. ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛ. εἴπερ γ' 'Ορέστου σῶμα βαστάζω τόδε.
ΟΡ. ἀλλ' οὐκ 'Ορέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛ. ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡ. οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛ. πῶς εἶπας, ὦ παῖ;
ΟΡ. ψευδὸς οὐδὲν ὧν λέγω.
ΗΛ. ἦ ζῇ γὰρ ὠ'νήρ;
ΟΡ. εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛ. ἦ γὰρ σὺ κεῖνος;
ΟΡ. τήνδε προσβλέψασ' ἐμοῦ
σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛ. ὦ φίλτατον φῶς.
ΟΡ. φίλτατον, ξυμμαρτυρῶ.

1211. ΠΡΟΣ ΔΙΚΗΣ. ἡ πρὸς ἀντὶ τῆς μετά.
1214. ΟΥΤΩΣ ΑΤΙΜΟΣ. ὥστε μηδὲ ὀνομάζειν αὐτὸν δηλονότι.
1215. ΤΟΥΤΟ Δ' ΟΥΧΙ ΣΟΝ. οὐ σοὶ προσῆκον.
1217. ΗΣΚΗΜΕΝΟΝ. κατεσκευασμένον. ἀσκήματα γὰρ, τὰ κατασκευάσματα.
1223. ΣΦΡΑΓΙΔΑ. τὸν δακτύλιον.

1206. τοῦτό μ' ἐργάσῃ. gl. μὴ ποιήσῃς τοῦτο ἐμέ. Vide supra ad v. 385.
1207. πιθοῦ. Vulgo πείθου. Vide supra ad v. 1015.
1221. ἦ ζῇ γὰρ ὠ'νήρ; Perperam vulgo ἀνήρ. In D. liquido scriptum ὠ'νήρ.
[1224. ὦ φίλτατον φῶς. Sic infra v. 1354. ὦ φίλτατον φῶς, quod explicans poëta statim addit ὦ μόνος σωτὴρ δόμων. Homerus Il. viii. v. 282. βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι. Sed imprimis compares cum nostro loco Odyss. xvi. v. 23. xvii. v. 41. Ἥλθες,

Digitized by Google

ΗΛ. ὦ φθέγμ', ἀφίκου ;
ΟΡ. μηκέτ' ἄλλοθεν τύθη. 1225
ΗΛ. ἔχω σε χερσίν ;
ΟΡ. ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛ. ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
ΧΟ. ὁρῶμεν, ὦ παῖ, καὶ τί συμφοραῖσί μοι 1230
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛ. ἰὼ γοναί, στροφὴ α'.
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων,
ἐμόλετ' ἀρτίως,
ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε. 1235
ΟΡ. πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛ. τί δ' ἔστι ;
ΟΡ. σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
ΗΛ. ἀλλ', οὐ μὰ τάν γ' ἀδμήταν αἰὲν Ἄρτεμιν, στροφὴ β'.

1225. Ω ΦΘΕΓΜ'. λείπει φίλτατον.
1233. ΓΟΝΑΙ ΣΩΜΑΤΩΝ. ἀντὶ τοῦ ἐνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος. ΕΙΔΕΘ' ΟΤΣ ΕΧΡΗΙΖΕΤΕ. ἀντὶ τοῦ ἐμέ.
1236. ΣΙΓ' ΕΧΟΥΣΑ ΠΡΟΣΜΕΝΕ. ἀντὶ τοῦ, σίγα ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν.
1237. ΤΙ Δ' ΕΣΤΙ ; παράκειται ἑκάστῳ τὸ οἰκεῖον. ἡ μὲν γὰρ γυνή τε οὖσα, καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα θρασυτέρα ἐστίν· ὁ δὲ ἥττων ἀσφαλής, διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ.
1239. ΑΛΛ' ΟΤ ΤΑΝ ΑΡΤΕΜΙΝ. ἡ ἀπόστασις πρὸς Κλυταιμνήστραν· ὅρα δὲ, εἰ

Τηλέμαχε, γλυκερὸν φάος. quæ item interrogatio videtur. Livius i, 39, 3. *Scire licet, hunc lumen quondam rebus nostris dubiis futurum, præsidiumque regiæ adflictæ.* quod solicitari vehementer miror. Ibidem c. 35, 4. facili certaque emendatione lego :—*edcitum: tum se, ex quo* etc. Particula *tum*, referenda ad alteram *cum* initio orationis positam, quomodo exciderit, vel tacente me intelligitur. *Schæf.*]

1226. ὡς τὰ λοίπ' ἔχοις ἀεί. Perperam Aldus ἔχεις, ut codd. plerique: in quibusdam ἔχῃς. Votum hoc est, et optativus omnino requiritur.

1230. *συμφορὰ* vox est media, quæ in utramque partem accipitur. Eustathius ad Homerum p. 647. *συμφορὰ, οὐ μόνον ἀποτρόπαιος, ἀλλὰ καὶ ἀγαθή, ὡς δηλοῖ σὺν ἄλλοις καὶ ὁ εἰπὼν ἐπ' ἀγαθῷ τὸ, Ἐπὶ συμφοραῖς γεγηθὼς ἕρπει δάκρυον ὀμμάτων ἄπο.* Alibi ξυμφορὰ absque ullo ad bonam seu malam fortunam respectu nihil aliud quam *ἀπόβασιν* significat, ut Œd. Tyr. 44. ubi sententia est non multum absimilis hujus apud Thucydidem i. 140. *ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου.*

1233. Vox *γοναὶ* in membr. E. meo, geminata, in aliis, ut in Aldina, semel tantum posita est.

1239. In Aldina legitur, ut in plerisque codd. ἀλλ' *οὐ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν*. In aliis ἀλλ' *οὐ μὰ*

Digitized by Google

τόδε μὲν οὔ ποτ' ἀξιώσω τρέσαι, 1240
περισσὸν ἄχθος ἔνδον
γυναικῶν ὂν αἰσί.

ΟΡ. ὅρα γε μὲν δὴ, κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.

ΗΛ. ὀτοτοτοί. στροφὴ γ'. 1245
ἀνέφελον ἐπέβαλες
οὔ ποτε καταλύσιμον,
οὐδέποτε λησόμενον
. . . . . .
ἀμέτερον
οἷον ἔφυ κακόν. 1250

ΟΡ. ἔξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ΗΛ. ὁ πᾶς ἐμοὶ ἀντιστρ. α'.
ὁ πᾶς ἂν τρέποι παρὼν ἐννέπειν
τάδε δίκα χρόνος. 1255
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ΟΡ. ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.

οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ, παρόντος Ὀρέστου, ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο.

1243. ΟΡΑ ΓΕ ΜΕΝ ΔΗ. ἐπὶ τὴν Κλυταιμνήστραν τείνων φησὶν, ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν.

1246. ΑΝΕΦΕΛΟΝ ΕΠΕΒΑΛΕΣ. ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο στίχων, φησὶν ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον, ὡς εἰ ἔφη διάδηλον κακὸν, ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον. ΟΥ ΠΟΤΕ ΚΑΤΑΛΥΣΙΜΟΝ, ΟΥΔΕΠΟΤΕ ΛΗΣΟΜΕΝΟΝ. οὐ καταλυόμενον. ὁ δὲ νοῦς· λήθης τυχεῖν μὴ δυνάμενον.

1251. ΟΤΑΝ ΠΑΡΟΥΣΙΑ ΦΡΑΖΗι. ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ. ἢ ὁπόταν ἡ παρουσία τούτων ᾖ, καὶ ὁ καιρὸς ἐπιτήδειος. τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα, δι' ὄχλου ἦν τοῖς θεαταῖς ἐπισταμένοις τὸ πᾶν, καὶ περιμένουσιν ἰδεῖν τὰ ἐξ Ὀρέστου γιγνόμενα.

1254. Ο ΠΑΣ ΑΝ ΠΡΕΠΟΙ. ὁ πᾶς χρόνος πρέποι τῇ δίκῃ λέγειν με ταῦτα. ΤΑΔΕ ΔΙΚΑΙΑ. γράφεται ΤΑΔΕ ΔΙΚΑι.

1257. ΣΩΖΟΥ ΤΟΔΕ. ποῖον; τὸ ἐλευθεροστομεῖν. τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.

τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν. Luxati pedes versus, qui debet esse trimeter iambicus, cujusqae in fine ἀδμήταν stare non potest. Proinde legendum: Ἀλλ' οὐ μὰ τάν γ' ἀδμήταν αἰὲν Ἄρτεμιν. αν accusativi nominum primæ declinationis corripiunt Dores, quorum dialecto utuntur in melicis Tragici.

1252. ἔργων τῶνδε. Sic etiam Triclinii recensio. Operarum errore in Turnebi editione excusum ἔργον. Manifestam mendam propagavit Stephanus.

Digitized by Google

ΗΛ. τί δρῶσα;
ΟΡ. οὔ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.
ΗΛ. τίς οὖν ἂν ἀξίαν γε, σοῦ πεφηνότος, ἀντιστρ. β'. 1260
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.
ΟΡ. τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν.
. . . . . .
ΗΛ. . . . . ἀντιστρ. γ'.
ἔφρασας ὑπερτέραν 1265
τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπῶρσεν
ἀμέτερα πρὸς μέλαθρα·
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ. 1270
ΟΡ. τὰ μέν, σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δὲ,
δέδοικα λίαν ἡδονῇ νικωμένην.
ΗΛ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδ' ἐμοὶ φανῆναι,
μή τοι, πολύστονον ὧδ' ἰδών,— 1275

1259. ΜΗ ΜΑΚΡΑΝ. ἀντὶ τοῦ, μὴ μακρῶς.
1260. ΤΙΣ ΟΥΝ ΑΞΙΑΝ ΓΕ. τίς ἄν, φησὶ, σοῦ φανέντος, δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν;
1265. ΤΠΕΡΤΕΡΑΝ. λείπει χάριν. ΤΑΣ ΠΑΡΟΣ ΧΑΡΙΤΟΣ. τῆς σῆς παρουσίας.
1275. ΩΔ' ΙΔΩΝ. γράφεται δὲ δι' 'ὁδῶν. ΜΗ Μ' ΑΠΟΣΤΕΡΗΣΗΙΣ. μὴ ἀπο-

1260. τίς οὖν ἂν ἀξίαν γε σοῦ πεφηνότος. Sic Aldus et codd. veteres omnes. Fœdum in modum impudens Triclinii audacia hunc versum corrupit.
1264. θεοί μ' ἐπώτρυναν. Aldus et veteres codd. θεοί μ' ὤτρυναν, syllaba deficiente ad versus integritatem. Metrum suffulsit Triclinius putri tibicine, θεοί γέ μ' ὤτρυναν. Excidit, quod toties contigisse vidimus, præpositio verbi compositi. Scripserat Tragicus ἐπώτρυναν, ut paulo infra ἐπῶρσεν.
1265. Tertiam hanc antistrophen plane exhibeo, ut in Aldina et in veteribus codd. legitur: impudentissime hic grassata est Triclinii stoliditas: ejus ineptiis bonam chartam commaculare nolo. Excidit versiculus qui primæ strophæ respondet, ut quintus excidit versiculus strophæ.
1272. δέδοικα λίαν. Sic libri veteres omnes. Triclinius infersit σε, ratus scilicet primam in λίαν necessario corripi, quæ apud Tragicos passim producitur, et apud Comicos etiam. Antiphanes apud Stobæum Floril. Grotii p. 321. Τί φῄς; λαθεῖν ζητῶν τι, πρὸς γυναῖκ' ἐρεῖς Τὸ πρᾶγμα; καὶ τί τοῦτο λίαν διαφέρει, Ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι; Sic legendi hi versus. In sequenti v. Triclinius infersit γε post μακρῷ, invitis veteribus libris.
1275. In D. μή τι πολύστονον. Scriptum oportuit μή τοι. In ceteris

Digitized by Google

ΟΡ. τί μὴ ποιήσω;
ΗΛ. μή μ' ἀποστερήσῃς,
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ΟΡ. ἦ κάρτα κἄν ἄλλοισι θυμοίμην ἰδών.
ΗΛ. ξυναινεῖς;
ΟΡ. τί μὴ οὔ; 1280
ΗΛ. ὦ φίλαι, ἔκλυον ἄν
ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
ἔσχον ὀργὰν ἄναυδον,
οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
νῦν δ' ἔχω σε· προὐφάνης δὲ 1285
φιλτάταν ἔχων πρόσοψιν,
ἃς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.
ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκ' ἐμὲ,
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων 1290
ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,

στερήσῃς με, φησὶ, τοῦ μεθέσθαι τῶν προσώπων καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς, ὅπερ μοι παρέσται ἐπὶ πλέον μετεχούσῃ σοῦ, καὶ ἀπολαυούσῃ. οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς. ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι.

1281. Ω ΦΙΛΑΙ ΕΚΛΥΟΝ. *ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην, οὔτε ἀκούσασα βοῆσαι. καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι, καὶ ὁ φόβος, ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα, σιωπῆσαι. ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν, ὁ νοῦς· ἔκλυον αὐδὴν, ἣν οὐδέποτε ἤλπισα, καὶ ἔσχον τρόπον ἄναυδον τῷ μὴ δύνασθαι ἀκούειν, οὐδὲ βοῶντος τινὸς ἀκούειν δυναμένη. οὕτως ἐξέστην ἐμαυτῆς. λέγει δὲ, περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν.*

1290. ΜΗΘ' ΩΣ ΠΑΤΡΩΑΝ. *ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας. ἤρκει γὰρ κἂν ἐκ τῶν λελεγμένων.* ΧΡΟΝΟΥ ΓΑΡ ΑΝ ΣΟΙ ΚΑΙΡΟΝ ΕΞΕΙΡΓΟΙ ΛΟΓΟΣ. *ἀφαιρεῖται γὰρ, φησὶ, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι τῶν λόγων ἡ ἀδολεσχία.*

libris *μή τι με πολύστονον*. Haud satis assequor, quænam sit diversa illa lectio, cujus hic scholiastes meminit. In codd. omnibus scriptum *δδ' ἰδών*. Gl. *οὕτως*. Si forte quopiam in exemplari scriptum reperit *ὀδὶ 'δών*, pro *ὀδὶ ἰδών*, vitium id fuit scripturæ, quod animadverti dignum non erat.

[1277. Vulgo *ἡδονὰν μ.* "Lege, Dorica forma, *ἀδονᾶν*. Ipsa Electra iterum usurpat pluralem 1302." Porsonus ad Euripid. Med. v. 734. *Schæf.*]

1292. *ἐξείργοι*. Sic codd. omnes nostri. Suidas in Χρόνου πόδα legit *ἐξαίροι*. E scholiastæ expositione suspicari quis possit eum legisse: *Ἔργου γὰρ ἂν σοι καιρὸν ἐξείργοι λόγος.*

Digitized by Google

σήμαιν', ὅπου φανέντες, ἢ πεκρυμμένοι,
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτως δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
φαιδρᾷ προσώπῳ, νῶν ἐπελθόντοιν δόμους·
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται, καὶ γελᾶν ἐλευθέρως.
ΗΛ. ἀλλ', ὦ πασίγνηθ', ὧδ' ὅπως καὶ σοὶ φίλον,
καὶ τοὐμὸν ἔσται τῇδ'· ἐπεὶ τὰς ἡδονὰς,
πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς, ἐκτησάμην.
κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ
αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίμην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὅθ' οὗνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἦν σὺ μὴ δείσῃς ποθ', ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκ' ἐμοί·
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾶς
δακρυῤῥοοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγὼ,
ἥ τις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δ' ἔμ' ἄσκοπα·
ὥστ', εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτὸ, πιστεύειν δ' ὁρᾶν.

1294. ΔΕΗΔΙΜΗΝ ΒΡΑΧΥ. γράφεται ΒΟΥΛΟΙΜΗΝ.
1307. ΑΛΛ' ΟΙΣΘΑ ΜΕΝ ΤΑ'ΝΘΕΝΔΕ. εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην. ΜΙΣΟΣ ΠΑΛΑΙΟΝ. πρὸς τὴν μητέρα δηλονότι.

1294. *φανέντες, ἢ κεκρυμμένοι.* In D. *φανέντες οἱ κεκρυμμένοι.*

1296. *οὕτως δ'*—Glossa, *σκόπει, ποίει.*

[1301. 2. *δὸ'—τῇδ'.* Adverte pleonasmum orationis. *Schæf.*]

[1309. *μὴ δείσῃς—, ὡς—.* V. Meletem. Crit. i. p. 113. *Schæf.*]

1310. *γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.* Sic Aldus et codd. veteres. In C. inverso vocum ordine, *τοὐμὸν φαιδρόν.* Triclinius inepte dedit *φαιδρῷ.*

1311. *μῖσος ἐντέτηκ' ἐμοί.* Elegans metaphora, qua odium aut cupido, tanquam infusa cera, animo adhærere dicitur. Lucianus in morte Peregrini p. 346. *τοσοῦτον ἔρως τῆς δόξης ἐντέτηκεν αὐτῷ.* Est hæc forma passim usitata: rarior vero inversa, qua, animus rei *infundi*, id est, *intabescere* dicitur, ut Trach. 463. *εἰ κάρτ' ἐντακείη τῷ φιλεῖν.*

[1312. *χαρᾷ.* Vulgo *χαραῖς.* V. Meletem. Crit. l. c. *Schæf.*]

Digitized by Google

ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδὸν,
ἄρχ' αὐτὸς, ὡς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον. ἦ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.
ΟΡ. σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ πλύω
τῶν ἔνδοθεν χωροῦντος.
ΗΛ. εἴσιτ', ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.
ΠΑΙ. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔ τις ὑμῖν ἐγγενὴς,
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσπετε;
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων,
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν, κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.
ΟΡ. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑΙ. καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡ. ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑΙ. εἷς τῶν ἐν Ἅιδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
ΟΡ. χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;

1322. ΣΙΓΑΝ ΕΠΗΝΕΣΑ. *τινὲς τὸν Χορὸν φασι λέγειν ταῦτα.* ΕΙΣΙΤ' Ω ΞΕΝΟΙ. *τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν, κελεύει αὐτὴν σιγᾶν· διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται.* ΚΑΙ ΦΕΡΟΝΤΕΣ ΟΙ' ΑΝ ΟΥΤΕ ΤΙΣ. *τοιαύτην ἀγγελίαν δηλονότι φέροντες, ἣν οὐκ ἄν τις ἀπώσαιτο, λαβεῖν τὰ ὄντα, οὐδὲ ἡδέως λάβοι, ὅτι κακή ἐστιν.*

1326. Ω ΠΛΕΙΣΤΑ ΜΩΡΟΙ. *ἐπιτιμᾷ αὐτοῖς, ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίγνονται.*

1328. ΕΓΓΕΝΗΣ. *ἐγγεγενημένος, ἢ ἄξιος τοῦ γένους.*

1333. ΠΡΟΣΘΕΝ Η ΤΑ ΣΩΜΑΤΑ. *οἷον πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν οἱ ἐχθροὶ, ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς.*

1338. ΕΝ ΤΟΙΣ ΤΟΙΟΥΤΟΙΣ. *καιροῖς δηλονότι.*

Digitized by Google

ΠΑΙ. τελουμένων, εἰ ποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛ. τίς οὗτος ἐστ', ἀδελφέ; πρὸς θεῶν, φράσον.
ΟΡ. οὐχὶ ξυνιεῖς;
ΗΛ. οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡ. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας ἐς χεῖρας ποτέ;
ΗΛ. ποίῳ; τί φωνεῖς;
ΟΡ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην, σῇ προμηθείᾳ, χερσοῖν.
ΗΛ. ἦ κεῖνος οὗτος, ὃν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡ. οὐδ' ἐστί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταταί μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα· πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες, οὐδ' ἔφαινες; ἀλλ' ἐμὲ
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
χαῖρ', ὦ πάτερ. πατέρα γὰρ εἰσορᾶν δοκῶ·
χαῖρ'. ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑΙ. ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦσι νύκτες ἡμέραι τ' ἴσαι,

1344. ΤΕΛΟΥΜΕΝΩΝ ΕΙΠΟΙΜ' ΑΝ. θαυμαστῶς, ὑπὲρ τοῦ μὴ ἐπὶ πλέον διατρίβειν, ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν· (1283.) Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες. ΚΑΙ ΤΑ ΜΗ ΚΑΛΩΣ. ὁ νοῦς· καὶ τὰ μὴ καλῶς, ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα, καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν· ἅπερ λεγόμενα πρὸς ἄκρον ἐστὶ παροξυντικά.

1346. ΤΙΣ ΟΥΤΟΣ ΕΣΤ'. οὐκ ἠρώτησε τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς, ἀλλ' ἐφύλαξε νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.

1349. ΟΥ ΤΟ ΦΩΚΕΩΝ ΠΕΔΟΝ. οὗ χερσὶν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθίᾳ.

1347. *ξυνιεῖς.* In duobus codd. *ξυνίης.* in ceteris *ξυνίεις.* [*ξυνίης.* Brunckius, ut solet, *ξυνιεῖς.* *Schæf.*]

[1359. 60. Interpunctionem mutavi. *Schæf.*]

1365. *κυκλοῦσι.* Sic Aldus et codd. veteres. Activum verbum neutraliter adhibetur, ut Trach. 130. Triclinius imperite glossam pro genuina voce substituit, *κυκλοῦνται.* [*κυκλοῦσι.* Futurum Atticum. *Schæf.*]

Digitized by Google

αἵ ταῦτά σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ.
σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη·
νῦν οὔ τις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.

ΟΡ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂμ λόγων,
Πυλάδη, τόδ' εἴη τοὔργον· ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἑδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.

ΗΛ. ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ,
ἀφ' ὧν ἔχοιμι, λιταρεῖ προὔστην χερί.
νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω,
αἰτῶ, προπίτνω, λίσσομαι· γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.

1366. ΤΑΥΤΑ. *τὰ κατ' ἐμὲ φησί.* ΝΥΝ ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ ΜΟΝΗ. *ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθου.* ΕΦΕΞΕΤΟΝ. *μελλήσετε.*
1372. ΟΥΔΕΝ ΑΝ ΛΟΓΩΝ. *τὸ* ΟΥΔΕΝ *παρέλκει.*
1378. ΑΠΠΑΡΕΙ ΧΕΡΙ. *ἀντὶ τοῦ λιταρῶς, συνεχῶς.* ΕΞ ΟΙΩΝ ΕΧΩ. *ὡς δυνάμεως ἔχω, λόγοις ἀξιοῦν, οὐ θύειν.* ΤΑΠΙΤΙΜΙΑ. *τοὺς μισθούς.*

[1366. *ταῦτα* ex abundanti positum, nam accusativus a verbo *δείξουσιν* pendens jam v. 1364. præcessit: qui cum sit masculini generis, ex regula syntactica debebat hic sequi *τούτους—σαφεῖς*. Sed ita Græci sæpius neutris utuntur. In Xenophont. Anab. i, 5, 10. extr. *τοῦτο* referendum, opinor, ad *μελίσης*.* Conf. Heindorf. ad Platon. Phædr. p. 221. et quæ nuper ad Theocrit. p. 219. notavi. *Schæf.*]

[1374. *ἕδη*. i. e. *ἀγάλματα*. Lucianus T. iii. p. 479. *αὐτοῦ δὲ εἶδος οὐκ ἔνι*. Suspicor *ἕδος*. Præcesserat p. 477. *ἐν δὲ τῷδε εἶεναι τὰ ἕδεα*. *Schæf.*]

[1376. *αὐτοῖν*. Erfurdtiana *αὐτοῖς*, fortasse typothetæ adeoque meo correctoris errore. Dativum respuit qui sequitur genitivus, *ἐμοῦ*. *Schæf.*]

[* Si quis ad *σῖτον* referre malit, meminerit *τὸ σῖτον* Græcos non dixisse. Musgravius ad Euripid. Helen. v. 428.: 'Mihi verisimillimum videtur, *σῖτον* nominativo singulari Græcis ignotum esse; dixisse eos in singulari *σῖτος*, in plurali *σῖτα*, ut *δίφρος, δίφρα, λύχνος, λύχνα, βόστρυχος, βοστρύχα*.' Confidentius etiam rem adfirmat, cujus haud paullo major in talibus auctoritas, Porsonus ad Euripid. Med. v. 494. Itaque laudo Reiskium, qui in Dionys. Halic. Antiquit. Rom. V. c. 58. T. ii. p. 984. pro vulgata nominativi forma *σῖτον* ex Codice Vatic. genuinam *σῖτος* asciverit. In Xenophont. Memorab. ii, 1, 24. nollem recentiores editores Stephanicam scripturam deseruisset. *Schæf.*]

Digitized by Google

ΧΟ. Ἰδεθ' ὅπη προνέμεται — στροφή.
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης. 1385
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες,
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμένει
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον. 1390
παράγεται γὰρ ἐνέρων — ἀντιστρ.
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
νεακόνητον αἷμα χειροῖν ἔχων·

1384. ΙΔΕΘ' ΟΠΟΥ ΠΡΟΝΕΜΕΤΑΙ. ἀντὶ τοῦ προβιβάζει. τοῦ Ὀρέστου δὲ εἰσελθόντος, ὁ Χορὸς ταῦτά φησιν. Ἄλλως. εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. τοῦτο δὲ ἤτοι ὁ Χορὸς φησι καὶ τῆς Ἠλέκτρας συνεισελθούσης αὐτοῖς, καὶ τὸ ΙΔΕΤΕ πρὸς ἀλλήλας φασὶν αἱ τοῦ Χοροῦ. ἢ ὅτι ἔξω οὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν Χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται· καὶ ἔστι διάλειμμα, ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ Ω ΦΙΛΑΤΑΙ ΓΥΝΑΙΚΕΣ. παρατήρει δὲ, ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμνήστραν, δι' ἃς προείπομεν αἰτίας· ἐνθάδε δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέστου, οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφαίνειν ὁ ποιητὴς οὐκ εἰσήγαγεν. ΑΙΜΑ ΦΥΣΩΝ ΑΡΗΣ. οἷον ὁ Ἄρης συναγελάζεται αὐτοῖς, φυσῶν αἷμα καὶ φόνον. ΔΥΣΕΡΙΣΤΟΝ. τὸ δι' ἔριν γιγνόμενον. ΚΑΚΩΝ ΠΑΝΟΥΡΓΗΜΑΤΩΝ. τὸ δὲ ΚΑΚΩΝ οὐχ ὡς κατηγορούσά φησιν· ἐναντίον γὰρ τῷ ἦθει τοῦ Χοροῦ· ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις. ΑΦΥΚΤΟΙ ΚΥΝΕΣ. ἤτοι εἰς τὸν Ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν Ἐρινύων. εἰσῆλθον εἰς τὸν οἶκον αἱ Ἐρινύες, ἃς οὐκ ἔστι φυγεῖν. ΤΟ ΤΥΜΟΝ ΦΡΕΝΩΝ ΟΝΕΙΡΟΝ. οὐ περὶ τοῦ ὀνείρου τῆς Κλυταιμνήστρας φησὶ· τοῦτο γὰρ βιαῖον. ἀλλὰ τοῦτό φησιν· ἃ κατ' ἐμαυτὴν ὀνειροπόλουν, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ' εὐθέως τελεσθήσεται.

1391. ΠΑΡΑΓΕΤΑΙ ΓΑΡ. ἡ Ἐρινὺς ἀφόβως χωροῦσα, ἢ δαίμων τις ἁπλῶς βοηθὸς νεκρῶν. ἢ ἐπὶ τοῦ Ὀρέστου· παρέρχεται, φησὶν, ἔσω στέγης ὁ Ὀρέστης. ΕΝΕΡΩΝ δὲ ΑΡΩΓΟΣ. ἤτοι τοῦ Ἀγαμέμνονος, ἢ τῶν χθονίων θεῶν βοηθὸς, ὅ ἐστιν ὑπηρέτις. ΑΡΧΑΙΟΠΛΟΥΤΑ ΠΑΤΡΟΣ ΕΙΣ ΕΔΩΛΙΑ. ἑδράσματα ἀρχαῖα, παλαιὰ οἰκήματα. ΝΕΑΚΟΝΗΤΟΝ ΑΙΜΑ. τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον.

1384. *ὅπη προνέμεται.* Sic bene scriptum in D. Vulgo ὅπου.

1388. *κύνες μετάδρομοι πανουργημάτων* sunt Erinnyes, quas Euripides etiam in Electra 1349. *κύνας* appellat. Vide notam ad Œd. T. 391.

1389. Ignoravit Triclinius ultimam in *μακρὰν* longam esse: alioqui non infersisset suum γε. Languidas particulas amabat frutex ille. Supra ubi libri omnes veteres habent *βεβᾶσιν ἄρτι*, dedit *βεβᾶσι δ' ἄρτι*.

1393. *πατρὸς εἰς ἑδώλια.* Antiqua hæc est et genuina lectio a Scholiasta servata, cujus in codd. veteribus locum invasit glossa *ἑδράσματα*. Vide Suidam in Ἑδώλια, et Toupii Epist. Crit. p. 132. Triclinius veterem lectionem amplexus fuerat: ejus recensio habet ἑδώλια· verum id Turnebus in margine solum adnotavit, servata in contextu Aldi lectione.

1394. *νεακόνητον αἷμα χειροῖν ἔχων.* Aldus et codd. veteres *χεροῖν* reclamante metro, cui consultum voluit Triclinius, sed prava est ejus emendatio *χειρῶν*. Dativus est *χειροῖν*, quem casum structuræ lex flagitat. Ante nuperum Sophoclis editorem Parisinum nemini ex omni eruditorum numero ad-

Digitized by Google

ὁ Μαίας δὲ παῖς 1395
Ἑρμῆς σφ' ἄγει, δόλον σκότῳ
κρύψας, πρὸς αὐτὸ τέρμα, κοὐκ ἔτ' ἀμμένει.
ΗΛ. Ὦ φίλταται γυναῖκες, ὥ' νδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ. πῶς δή; τί νῦν πράσσουσιν;
ΗΛ. ἡ μὲν ἐς τάφον 1400
λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.

Ο ΜΑΙΑΣ ΔΕ ΠΑΙΣ. ὁ Ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα, κατακρύψας σκότῳ τὸν ὑπ' αὐτοῦ γινόμενον δόλον.

1398. Ω ΦΙΛΤΑΤΑΙ ΓΥΝΑΙΚΕΣ. ἐξερχομένη ταῦτά φησιν.

1400. ΕΣ ΤΑΦΟΝ. εἰς τὸ περίδειπνον, τὸ ἐπὶ τῷ Ὀρέστῃ δαιτυμόνι ἀπωλωλέναι.

huc observatum fuerat, probis scriptoribus Græcis displicuisse formam χειροῖν, quæ, si fidem illi habeamus, aut reperitur nuspiam, aut, sicubi occurrit, commutanda est cum χειρῶν vel χερσὶν, quotiescunque metri lex priorem productam requirit. Sed ego tali magistro non ita sum credulus, et χειροῖν Græcæ linguæ non eximam, dum analogiæ ratio potiori auctoritati non cedet. *alma* hic *gladium* significare agnoscunt critici veterés omnes, quorum consensus Johnsonum non deterruit, quin locum corruptum esse pronuntiaret, hac emendatione persanandum: νεακόνητον εὖ μάχαιραν ἔχων. Hoc illum voluisse ex ejus versione perspicuum est. ἐν pro εὖ operarum errore excusum fuisse Heathius facile animum advertere poterat, et suam interjectionem *al* ad compendium ponere. Nihil futilius istis conjecturis, quæ audaci metaphoræ, ab indole chorici cantici, et Sophoclis ingenio neutiquam alienæ, plebeium putidumque sermonem substituunt. At *sermonem* tamen. Verum quo nomine appellabimus versum quem Tragico largitur Parisini editoris solertia? Νεακονῆ τὰν εὖ μάχαιραν ἔχων. Nemo adeo lippus est, quin videat νεακονῆ τὰν εὖ μάχαιραν esse pro τὰν μάχαιραν εὖ νεακονῆ. Similis est structuræ illius apud Comicum nostratem: *d'amour mourir me font, belle marquise, vos beaux yeux.* Illa articuli trajectio huic viro tantum placuit, ut eadem ratione versum restituerit in Aristophanis Acharn. 318. Ὑπὲρ ἐπιξήνου θελήσω τὴν ἔχων κεφαλὴν λέγειν. Scilicet decebat ut hominis Britanni invento aliquid novi superinduceret, quod aliter facere non poterat, nisi νεακόνητον haud magis Græcum esse decerneret, quam χειροῖν. Quis risum teneat, quum hujusmodi homunciones Sophoclem Græce loqui docent? Legi digna sunt quæ de hoc loco scripsit Vir doctus in Miscell. Observ. tom. i. p. 416. Græce dicitur νεηκονὴς et νεηκόνητος, eadem analogia, qua ἀταρβὴς, ἀτάρβητος: ἄδμὴς, ἄδμητος: ἀνωφελὴς, ἀνωφέλητος: ἀμφινεικὴς, ἀμφινείκητος: ἀναλγὴς, ἀνάλγητος: et alia geminæ formæ vocabula, quæ apud hunc Tragicum et passim occurrunt. Metonymia est, similis illi in Phil. 1125. χερὶ πάλλων τὰν ἐμὰν μελέου τροφὰν, τὰν οὐδεὶς ποτ' ἐβάστασεν. Utroque in loco is qui efficit, *gladius, arcus*, ex eo quod efficitur, *sanguine*, id est, cæde; *alimento*, id est, confixis feris, avibus, quorum carne vescebatur Philocteta, declaratur. Non allus in hoc dramate pulchrior est versus, nec qualiscunque mendæ magis purus. Qui ei alium substituere non veriti sunt, cogitare saltem debebant, ut subditivus genuinæ indolis præ se ferret quidpiam. Verum si quis Sophoclem interrogaret, an pro suo versum hunc agnoscat, Νεακόνητον εὖ μάχαιραν ἔχων, vel, si Diis placet, istum, Νεακονῆ τὰν εὖ μάχαιραν ἔχων, exclamaret procul dubio: *Aliter catuli longe olent, aliter sues.*

1398. ὥ'νδρες, id est, οἱ ἄνδρες. Perperam vulgo indefinite ἄνδρες.

Digitized by Google

ΧΟ. σὺ δ' ἐκτὸς ἦξας πρὸς τί;
ΗΛ. Φρουρήσουσ' ὅπως
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛ. αἰ αἰ αἰ αἰ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι. 1405
ΗΛ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ', ὦ φίλαι;
ΧΟ. ἤκουσ' ἀνήκουστα στροφὴ α'.
δύστανος, ὥστε φρίξαι.
ΚΛ. οἴ μοι τάλαιν'. Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
ΗΛ. ἰδοὺ μάλ' αὖ θροεῖ τις.
ΚΛ. ὦ τέκνον, τέκνον, 1410
οἴκτειρε τὴν τεκοῦσαν.
ΗΛ. ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτείρεθ' οὗτος, οὔθ' ὁ γεννήσας πατήρ.
ΧΟ. ὦ πόλις, ὦ γενεὰ τάλαινα· νῦν σε στροφὴ β'.
μοῖρα καθημερία φθίνει, φθίνει.
ΚΛ. ὤ μοι πέπληγμαι.
ΗΛ. παῖσον, εἰ σθένεις, διπλῆν. 1415
ΚΛ. ὤ μοι μάλ' αὖθις.
ΗΛ. εἴ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.

1402. ΣΥ Δ' ΕΚΤΟΣ ΗΙΗΛΣ ΠΡΟΣ ΤΙ; ἐν τούτοις δῆλον ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα.

1404. ΣΤΕΓΑΙ ΦΙΛΩΝ ΕΡΗΜΟΙ. ὁ λόγος ἀποτείνεται εἰς Αἴγισθον. ἔθος δὲ ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι· νῦν δὲ, διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι, οὐκ ἐποίησε τοῦτο. προκείμενον γὰρ τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. νῦν τοίνυν βοώσης ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήστρας, ὁ θεατὴς ἀκούει, καὶ ἐναργέστερον τὸ πρᾶγμα γίγνεται, ἢ δι' ἀγγέλου σημαινόμενον. καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἀπέστη· τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ἐπραγματεύσατο.

1407. ΗΚΟΥΣ' ΑΝΗΚΟΥΣΤΑ. οἰκεῖον τὸ διανόημα γυναικῶν. τὸ δὲ ΑΝΗΚΟΥΣΤΑ οὐχ ὡς καταγινώσκουσαι τοῦ Ὀρέστου φασὶν, ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι.

1413. Ω ΓΕΝΕΑ ΤΑΛΑΙΝΑ. ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ Μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν ἄγει τοῦ γένους.

1403. In codd. omnibus veteribus, ut in Aldina, pede mancus est hic versus: Αἴγισθος μὴ λάθῃ μολὼν ἔσω. Triclinius ex conjectura αὐτὸς supplevit; melius, ut opinor, ego, ἡμᾶς.

1414. καθημερία. gl. κατὰ τὴν παροῦσαν ἡμέραν. In Triclinii recensione Dorica est forma καθαμερία.—φθίνει, φθείρει. Vox repetenda, in Aldina et codd. aliquot semel tantum posita est. [Brunckius καθημερία. *Schæf.*]

1416. εἰ γὰρ, *utinam.* εἰ in hac formula valet εἴθε. Vide ad Œd. T. 80. εἰ etiam sine γὰρ eamdem significationem habet, ut Œd. Col. 644. εἴ μοι θέμις γ' ἦν, *utinam mihi liceret!*

Digitized by Google

ΧΟ. τελοῦσ' ἀραί· ζῶσιν οἱ στροφὴ γ'.
γᾶς ὕπαι κείμενοι.
πολύῤῥυτον γὰρ αἷμ' ὑπεξ-
αιροῦσι τῶν κτανόντων 1420
οἱ πάλαι θανόντες.
ΗΛ. καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος. οὐδ' ἔχω λέγειν,
Ὀρέστα, πῶς κυρεῖ.
ΟΡ. τά γ' ἐν δόμοισι μὲν,
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε. 1425
τέθνηκεν ἡ τάλαινα. μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτέ.
ΧΟ. παύσασθε. λεύσσω γὰρ ἀντιστρ. α'.
Αἴγισθον ἐκ προδήλου.
ΗΛ. ὦ παῖδες, οὐκ ἄψορρον;
ΟΡ. εἰσορᾶτέ που 1430

1417. ΤΕΛΟΥΣΙΝ ΑΡΑΙ. ἀντὶ τοῦ, ἐπέρχονται αὐτούς. ΤΙΘΕΑΙΡΟΥΣΙ. ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες.

1425. ΑΠΟΛΛΩΝ ΕΙ ΚΑΛΩΣ ΕΘΕΣΠΙΣΕ. οἷον, οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβαλλόμενος ἔπραξα, ἀλλὰ πειθόμενος τῷ θεῷ.

1428. ΛΕΥΣΣΩ ΓΑΡ ΑΙΓΙΣΘΟΝ. οἷον ὑποστρέψαντα. μετεκέκλητο γὰρ ἴσως ὑπὸ Κλυταιμνήστρας.

1417. τελοῦσ' ἀραί. Aldus et veteres codd. τελοῦσιν contra metri rationem. Iidem in seq. vers. dant γᾶς ὑποκείμενοι, quod metro itidem repugnat. Vide infra ad v. 1438.

1424. In Aldina et in veteribus codd. sic scriptus est hic versus: Ὀρέστα, πῶς κυρεῖ. τἀν δόμοισι μέν. Deficientem syllabam Triclinius haud magno labore supplevit, πῶς κυρεῖ γε. Verum inficete prorsus particulam posuit in fine sententiæ. Commodiori sede eam locavi: τά γ' ἐν δόμοισι μὲν—

[1425. Matricidam ne spectatores averserentur, omnis culpa perpetratæ cædis in Apollinem statim conferenda erat. *Schæf.*]

1427. ὡς ἀτιμάσει. Sic membr. D. E. August. meus, et Triclinii etiam recensio recte. In impressis perperam ut in C. ἀτιμάσῃ. ὡς hic cum futuro indicativi construi debet, ut supra 1310.—ἦν σὺ μὴ δείσῃς ποθ', ὡς Γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα. Utroque in loco glossa ὡς exponit per ὅτι, unde intelligitur sequens verbum non alius modi esse posse, quam indicativi.

1430. In Aldina hic versus totus et sequentes duo Electræ partibus contribuuntur. Personarum distinctionem restitui, quam liquido exhibent quinque codd. C. D. E. meus et Triclinianus. Consentit August. nisi quod errore librarii Electræ persona omissa est quæ versui 1430. præfigi debuit. In omnibus scriptum ἐφ' ἡμῖν, ut manifestum est Orestèn dicere debere; et sic etiam scriptum est in membr. tametsi Orestis persona suo loco omissa est. Aldus ex mera conjectura ἐφ' ὑμῖν dedisse videtur, quod Turnebus, deteriora quæque probare suetus, bonæ codicis sui scripturæ prætulit. Parisino quoque editori *ὑμῖν melius videtur*, quod profecto non miror.

Digitized by Google

τὸν ἄνδρ' ἐφ' ἡμῖν;

ΗΛ. οὗτος ἐκ προαστίου

χωρεῖ γεγηθὼς . . . . . .

. . . . . .

ΧΟ. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα. ἀντιστρ. β'.

νῦν τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν—

ΟΡ. θάρσει· τελοῦμεν, ἤ νοεῖς.

ΗΛ. ἔπειγέ νυν. 1435

ΟΡ. καὶ δὴ βέβηκα.

ΗΛ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.

ΧΟ. δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἀντιστρ. γ'.

ἠπίως ἐννέπειν

πρὸς ἄνδρα τόνδε συμφέροι,

λαθραῖον ὡς ὀρούσῃ 1440

πρὸς δίκας ἀγῶνα.

ΑΙΓΙΣΘΟΣ.

τίς οἶδεν ὑμῶν, ποῦ ποθ' οἱ Φωκῆς ξένοι,

1434. ΤΑ ΠΡΙΝ ΕΥ ΘΕΜΕΝΟΙ. τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ Κλυταιμνήστραν, ὡς καὶ ὑμῖν εὖ εἴη τὰ κατὰ Αἴγισθον.

1437. ΔΙ' ΩΤΟΣ ΑΝ ΠΑΤΡΑ. μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς ἐν τῷ λαλεῖν δεῖ, μηδὲ μηκύνειν τὸν λόγον. ΩΣ ΗΠΙΩΣ. γράφεται ΩΣ ΝΗΠΙΩι. ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς διαλέγεσθαι· δεῖ, μὴ ἀνακαλύπτοντας εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον. ΠΡΟΣ ΑΝΔΡΑ ΤΟΝΔΕ ΣΥΜΦΕΡΟΙ. καθ' ὑπέρβατον. συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον. λείπει δὲ τῷ λόγῳ, διαλεγόμενόν τῳ νηπίῳ. ἢ πρὸς αἰτιατικὴν μετακτέον· πρὸς τὸν ἄνδρα συμφέρει τοῦτον, ὡς πρὸς νήπιον, ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτὸς, ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ εἰς τὸν ἀγῶνα τῆς δίκης, τὸν λάθρα κατ' αὐτοῦ γιγνόμενον.

1431. ἐκ προαστίου. Sic bene Aldus. In codd. perperam scriptum προαστείου, quod Heathius reponi vult: at ostendere oblitus est qui in fine senarii stare hoc possit. In membr. sincera lectio mendosæ superscripta. Vide Suidam in Προάστειον. Euripides Alcest. 848. Τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.

1436. μέλοιτ' ἐμοί. Sic Aldus et codd. omnes veteres. Glossa, διὰ φροντίδος ἂν εἴη ἐμοί. Triclinius novavit μέλοι γ' ἐμοί.

1438. ὡς ἠπίως. Sic Aldus et codd. omnes veteres recte. Gl. λίαν πράως. Versus dimeter est paeonicus duobus constans creticis, ad cujus normam antitheticum in stropha reconcinnavimus, Γᾶς ὕπαι κείμενοι. in quo ex librarii libidine legebatur γᾶς ὑποκείμενοι· quod Triclinius quum sincerum esse arbitraretur, ut metra congruerent, hujus versiculi lectionem interpolavit, et pro suo more corrupit, sensumque plane subvertit. Nempe ἤπιον veteri lectioni substituit. Hujus ἠπίως aliam depravationem in libris exstitisse testatur Scholiastes, νηπίῳ, quod vitiosa nuce nemo emerit, nisi νήπιος ipse sit.

Digitized by Google

οὓς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπότ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι, σὲ κρίνω, ναὶ σὲ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
οἴμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛ. ἔξοιδα. πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἶην τῶν ἐμῶν τῆς φιλτάτης.
ΑΙ. ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκ' ἐμέ.
ΗΛ. ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.
ΑΙ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ. οὔκ· ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙ. πάρεστ' ἄρ' ἡμῖν, ὥστε κἀμφανῆ μαθεῖν.
ΗΛ. πάρεστι δῆτα, καὶ μάλ' ἄζηλος θέα.
ΑΙ. ἦ πολλὰ χαίρειν μ' εἶπας, οὐκ εἰωθότως.
ΗΛ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
ΑΙ. σιγᾶν ἄνωγα, κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς, εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξήρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν,
στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν,
ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.
ΗΛ. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ. τῷ γὰρ χρόνῳ

1450. ΔΙΔΑΞΚΕ ΜΕ. *γράφεται* ΜΗΝΥΕ ΜΟΙ.
1457. ΧΑΙΡΟΙΣ ΑΝ ΕΙ ΣΟΙ ΧΑΡΤΑ. *ἐπισαρκάζουσα λέγει τάδε.*
1458. ΣΙΓΑΙΝ ΑΝΩΓΑ. *κελεύει ὁ Αἴγισθος ἐμφανῶς δεικνῦναι τὸ σῶμα τοῦ Ὀρέστου· οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς Κλυταιμνήστρας.* ΜΗΔΕ ΠΡΟΣ ΒΙΑΝ. *ἐὰν μὴ πεισθῆται, πρὸς βίαν, κολάσεως τυχὼν, τότε φύσει φρένας, καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι.*

1445. *σέ τοι, σὲ κρίνω, ναὶ σὲ*— Libri omnes *καὶ σὲ*, menda manifesta. Unicam Electram percontatur; proinde copulæ non est locus. Acute Reiskius vidit *ναὶ* legendum esse.

1451. *φίλης προξένου κατήνυσαν.* Elliptica locutio, pro *κατήνυσαν τὴν ὁδὸν εἰς φίλης προξένου οἶκον.* Vide ad Œd. Col. 1562.

1456. *χαίρειν μ' εἶπας.* In plerisque veteribus libris pronomen omissum.

1461. *ἀνδρὸς τοῦδε, Orestis.* Jungendi hi genitivi cum *ἐλπίσιν*, non vero cum *νεκρόν*. Perperam in impressis hic locus distinctus est. Quæ sequuntur, *μηδὲ πρὸς βίαν φύσῃ φρένας, προστυχὼν ἐμοῦ κολαστοῦ* significant: *neque ingratiis sapere discat, castigatorem me nactus.* Ista Latine et Gallice vertit Parisinus editor, et in utraque lingua a sensu aberravit, *πρὸς βίαν*, quod ad *φύσῃ* pertinet, cum *κολαστοῦ* jungens. Vide quæ notavimus ad Comici Ranas 1457.

Digitized by Google

νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙ. ὦ Ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν, εὖ πεπτωκός· εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω. χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡ. αὐτὸς σὺ βάσταζ'. οὐκ ἐμὸν τόδ', ἀλλὰ σὸν, τὸ ταῦθ' ὁρᾶν τε, καὶ προσηγορεῖν φίλως.
ΑΙ. ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δὲ, εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡ. αὕτη πέλας σοῦ. μηκέτ' ἄλλοσε σκόπει.
ΑΙ. οἵ μοι, τί λεύσσω;
ΟΡ. τίνα φοβῇ; τίν' ἀγνοεῖς;
ΑΙ. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις πέπτωχ' ὁ τλήμων;
ΟΡ. οὐ γὰρ αἰσθάνῃ πάλαι ζῶντας θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
ΑΙ. οἵ μοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως ὅδ' οὐχ Ὀρέστης ἔσθ', ὁ προσφωνῶν ἐμέ.

1466. ΑΝΕΥ ΦΘΟΝΟΥ ΜΕΝ. οἷον, ἐφθονήθη, καὶ ἔπεσεν ὁ Ὀρέστης. ΕΙ Δ' ΕΠΕΣΤΙ ΝΕΜΕΣΙΣ, ΟΥ ΛΕΓΩ. εἰ δὲ μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν, οὐ λέγω.
1478. ΤΟΙΣ ΘΑΝΟΥΣΙ. τῷ Ὀρέστῃ.

1465. Perperam in impressis *τοῖς κρείττοσιν*.

1466. Absurde vulgo legitur: *δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὐ πεπτωκός*. Levissima mutatione sententiam restituit acutissimi Tyrwhitti certa conjectura. Vide Emendationes in Euripidem, Musgravii Exercitationibus subjunctas p. 145. vel, quod perinde est, Musgravii notas ad Rhesi v. 456. *φθόνος* et *Νέμεσις* idem significant, ut in simili formula *τὴν Νέμεσιν προσκυνῶ*, de qua vide Berglerum ad Alciphronem p. 139. et *τὸν φθόνον δὲ πρόσκυσον* apud Nostrum Philoct. 776. Perinde est igitur ac si dixisset: *δέδορκα φάσμα εὖ πεπτωκός. λέγω μὲν ἄνευ φθόνου· εἰ δ' ἔπεστι φθόνος, οὐ λέγω*. Egregia hac emendatione nihil verius.

1469. *τὸ συγγενές τοι*. Sic meus et D. recte. In aliis, ut apud Aldum, mendose *τε*, cujus loco Triclinius supposuit *γε*.

1471. *προσηγορεῖν φίλως, compellare amice, ut cognatum decet*. Aldus et veteres codd. habent *φίλος*. In plerisque vocandi adverbium *ὦ* superscriptum glossæ loco. Sane quidem *φίλος* sæpissime Attici in vocativo adhibent, ut Euripides in Med. 1138. *ἀλλὰ μὴ στέρχου, φίλος*. Verum hic mendosum est. Præstat Triclinii lectio *φίλως*, ut in Œd. Col. 758. *τήνδε τὴν πόλιν φίλως εἰπών*.

1478. Vulgo *ζῶν τοῖς θανοῦσιν* absque ullo sensu. Rursus hic Tragico egregiam operam navavit Tyrwhitti acumen, cui debetur emendatio, quam merito suo recepimus. *Non sentis te dudum cum viventibus quasi mortuis confabulari?* id est, *cum Oreste vivente, quem mortuum opinaris.*

Digitized by Google

ΟΡ. καὶ μάντις ὢν ἄριστος, ἐσφάλλου πάλαι.
ΑΙ. ὄλωλα δὴ δείλαιος. ἀλλ' ἐμοὶ πάρες
κἄν σμικρὸν εἰπεῖν.
ΗΛ. μὴ πέρα λέγειν ἔα,
πρὸς θεῶν, ἀδελφὲ, μηδὲ μηκύνειν λόγους.
τί γὰρ βροτῶν ἂν ξὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;
ἀλλ' ὡς τάχιστα κτεῖνε, καὶ κτανὼν πρόθες
ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡ. χωροῖς ἂν εἴσω ξὺν τάχει. λόγων γὰρ οὐ
νῦν ἐστὶν ὠγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙ. τί δ' ἐς δόμους ἄγεις με; πῶς, τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
ΟΡ. μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες

1483. ΜΗ ΠΕΡΑ ΛΕΓΕΙΝ ΕΑ. *περισσὴ γὰρ καὶ ἀπίθανος διατριβὴ πρὸς τῷ τέλει ἐκτείνειν λόγους.*

1488. ΤΑΦΕΥΣΙΝ. *ἤγουν οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν.* ΩΣ ΕΜΟΙ ΤΟΔ' ΑΝ. *τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.*

1495. ΜΗ ΤΑΣΣΕ. *μὴ ἐπίτασσε.* ΧΩΡΕΙ Δ' ΕΝΘΑΠΕΡ ΚΑΤΕΚΤΑΝΕΣ. *πρόφασιν ἱκανὴν εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.*

1481. *ἐσφάλλου.* Sic emendate scriptum in membr. ut in Triclinii recensione. In ceteris libris perperam *ἐσφάλου.*

1485. Haud dissimilis sententia in Aj. v. 475. In Aldina et codd. omnibus legitur *μεμιγμένων*, ita postulante sententia. Nescio quo casu, aut qua imperitia Triclinius dederit *μεμιγμένον*, quod quidem *melius putat* Parisinus editor: verum eo certius videri possit mendosum id esse. Genitivus *βροτῶν* pendet a suppresso τις. *ὁ μέλλων τις θνήσκειν τῶν σὺν κακοῖς μεμιγμένων βροτῶν.* Nihil planius.

1488. *ταφεῦσιν.* Ironice. Id facere jubet Electra, quod facturum fuisse Menelaum Nestor apud Homerum dicit Odyss. γ'. 255. si domum reversus Ægisthum in vivis adhuc reperisset. Ἦτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι, ὥς κεν ἐτύχθη, Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτεμεν Ἀτρεΐδης, Τροίηθεν ἰὼν, ξανθὸς Μενέλαος· Τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν, Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν Κείμενον ἐν πεδίῳ ἑκὰς ἄστεος· οὐδέ κε τίς μιν Κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.

1491. *χωροῖς ἂν* idem valet ac *χώρει.* Optativus cum particula ἂν sæpe vim futuri habet, ut Œd. T. 95. 282. Œd. Col. 507. Antig. 1108. Sæpe imperativi. Hic non magis huic formulæ *χωροῖς ἂν εἴσω* indignationis inest affectus, quam quum iisdem verbis Neoptolemus blande Philoctetæ dicit v. 674. *ingredere*, *χωροῖς ἂν εἴσω*, ut quum in Trach. 624. amice Dejanira dicit Lichæ, *στείχοις ἂν ἤδη.*

1492. *νῦν ἐστὶν ὠγών.* Libri omnes mendose *ἀγών*, cujus vocis quum prior syllaba semper corripiatur, crurifragio versus laboraret, si ita legeretur. Vide quæ notavimus ad Comici Ranas 867.

Digitized by Google

πατέρα τὸν ἀμὸν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.
AI. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;
OP. τὰ γοῦν σ' ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.
AI. ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
OP. πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'.
AI. ὑφήγου.
OP. σοὶ βαδιστέον πάρος.
AI. ἦ μὴ φύγω σε;
OP. μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.
XO. ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες,
τῇ νῦν ὁρμῇ τελεωθέν.

1508. ΩΣ ΠΟΛΛΑ ΠΑΘΟΝ. ἀντὶ τοῦ, μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.

1507. κτείνειν. gl. λέγω τὸ κτείνειν. δίκην. De ὅστις ad nomen plurale τοῖς πᾶσιν relato, vide ad Aj. 760. Nimirum adponitur ad præcedens τήνδε

ΤΕΛΟΣ ΗΛΕΚΤΡΑΣ.

Digitized by Google

DEPERDITORUM

SOPHOCLIS DRAMATUM

FRAGMENTA.

Digitized by Google

Digitized by Google

DEPERDITORUM

SOPHOCLIS DRAMATUM

FRAGMENTA.

ΑΘΑΜΑΣ Α. καὶ Β.

DUAS hoc titulo fabulas edidit Sophocles. In priore, quantum conjicere licet, exhibebatur Athamas in furorem a Junone actus, filiumque Learchum interficiens, cujus casus dolore, postquam mentis compos factus est, solum vertit, exsilio se ipsum multans. Vide Apollodorum i. 9. 2. Posterioris vero hypothesin declaratam habemus ad Comici Nubes, ubi rusticus, quum a Socrate jubetur capiti coronam imponere, ait:

Ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες,
ὅσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.

ad quem locum in scholiis inter alia hæc leguntur: Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δόσειν διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος, ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Alius: Ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος παρὰ Φρίξου. Tertius: Τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα, καὶ τοῦ θανάτου ῥυόμενον, λέγοντα ὡς σώζοιτο ὁ Φρίξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. Cum istis comparentur, quæ congessit Apostolius ad Proverbium Μὴ θεᾶς ἄνθρωπον, ὡς Ἀθάμας· facile quivis sentiet quem ille descripsit, et Comici enarratores idem Sophoclis drama innuisse, Heathiumque nugari, quum ait *Prioris Athamantis argumentum haberi apud Apostolium Prov.* xiii. 46. *de posterioris vero argumento videnda esse scholia ad Aristoph. Nub.* 256. Utroque in loco una eademque res narratur; recentiorque Apostolius veteres criticos pæne ad verbum exscripsit.

Vide Lexicon in Ἀγχήρης. Βρυαζούσης. Ἔπιπλα. Ἐπισίγματα. Ἔρκεσι. Ἐχρωματίσθη. Ἐψία. Καταγνῶναι. Λευκὴν ἡμέραν.

ΑΙΑΣ ΛΟΚΡΟΣ.

I. Stobæus Ecl. p. 127. Theophilus ad Autolycum, lib. ii. cap. 37.

Εἰ δεῖν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.
Δίκης γὰρ ἐξέλαμψε νῦν ὅσιον φάος.

Hunc qui patravit dira, tantumdem pati
æquum est, sacratum juris ut fulsit jubar.

II. Idem Floril. tit. xlviii. p. 183.

Σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ.

Dat sapere regi turba sapientum comes.

Digitized by Google

Senarium hunc Sophoclis esse ex Ajace Locro testantur Aristides tom. ii. p. 228. Libanius Epist. xxxiii. Zenobius Prov. v. 98. Agellius xiii. 18. Platonis errorem, aliis jam antea notatum, ostendit Gatakerus, qui de hoc senario copiose agit tom. ii. p. 173. Operam perdidit Wolfius, quum eum quæreret in superstitibus Sophoclis fabulis.

III. Idem tit. xcviii. p. 409.

Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.

Homo flatus est et umbra; præterea nihil.

In edito Stobæo tributus hic senarius Sophocli, sed omisso dramatis titulo. Adscriptum in Reg. cod. lemma Σοφοκλ. Αἴαντι. Similis est sententia in Flagellifero v. 125.

IV. Idem tit. cxv. p. 473.

Τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιούσδ' ἴδοις ἂν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι·
ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
μάστιγ' ἐρείσῃ τοῦ βίου παλίντροπον,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

Vetera exemplaria adscriptum habent lemma Σοφοκλ. Οἰδίποδι, falso. Manifestus error Grotium permovit, ut dramatis titulum mutaret, Oïleumque sufficeret Œdipodi, e Cicerone, cujus locum mox proferemus. Sed fefellit eum conjectura. Oïleum nec Sophocles docuit, nec Euripides, cujus tamen inter fragmenta hos versus retulit in quemvis lapsum proclivis Barnesius, ut et duos alios senarios, quos exhibet Stobæus initio tit. xlvi. qui sunt ex Euripidis Syleo. Hominem seduxit Grotii ipsius error in Excerptis p. 396. ubi hi versus designantur tanquam ex Euripidis Oïleo, quos in Florilegio tamen Sophocli adscripserat. Sobrie ista accuravit Musgravius. E Sophoclis Ajace Locro versus hos desumptos esse inter eruditos constat, quo in dramate recitabantur e Chori vel alius persona Oïleum increpantis, quod filii mortem haud ferret moderate. Hoc ostendit Cicero Tuscul. iii. 29. "Itaque Oïleus ille apud Sophoclem, qui Te-"lamonem antea de Ajacis morte consolatus esset, is quum audisset de sui, "fractus est." De cujus commutata mente sic dicitur:

Nec vero tanta præditus sapientia
quisquam est, qui aliorum ærumnam dictis allevans,
non idem, quum fortuna mutata impetum
convertat, clade subita frangatur sua;
ut illa ad alios dicta et præcepta excidant.

Sententiæ summam reddidit Cicero: formam ipsam expressit Grotius strictiori versione:

Plerumque magna præditos sapientia
tales reperias, iste se qualem gerit.
consilia bene dant rebus aliorum malis:
at ubi levis fortuna mutato impetu
crudeli in ipsos verbere intonaverit,
ibi illa cuncta pulchra præcepta excidunt.

V. Schol. Euripidis ad Alcestin 453. Καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Λοκρῷ.

Καὶ πεξὰ καὶ φορμικτά.

καὶ πέξαι δέ τινες ἕτεραι λέγονται, αἱ χωρὶς ὀργάνου εἰς τὰ συμπόσια φοιτῶσι.

Digitized by Google

VI. Schol. Comici ad Aves 934. Σπολὰς, διφθέρα ὀπιναοῦν. Σοφ. Αἴαντι Λοκρῷ.

καταστίκτου κυνὸς
σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος.

τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται, τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντήνορος οἰκίᾳ. Pollux vii. 70. σπολὰς δὲ, θώραξ ἐκ δέρματος, κατὰ τοὺς ὤμους ἐφαπτόμενος, ὡς Ξενοφῶν ἔφη, καὶ σπολὰς ἀντὶ θώρακος. Σοφοκλῆς δ' αὐτὴν Λίβυσσαν ὀνομάζει· Σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος.

VII. Vide Lexicon in Ἑλλάς.

ΑΙΓΕΥΣ.

I. Strabo lib. ix. p. 601.

Πατὴρ δ' ἀπελθεῖν ὅρισ' εἰς ἀκτὴν ἐμοὶ
πρεσβεῖα νείμας τῆσδε γῆς· τῷ δ' αὖ Λύκῳ
τὸν ἀντίπλευρον κῆπον Εὐβοίας νέμειν·
Νίσῳ δὲ τὴν ἀνόμαλον ἐξαιρεῖ χθόνα
Σκείρωνος ἀκτῆς· τῆς δὲ γῆς τὸ πρὸς νότον
ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων
εἵληχε Πάλλας.

De divisione regni Attici inter Pandionis filios vide Meursium Regni Attici ii. 15. In tertio versu *νέμειν*, quod *habitare, possidere* significat, pendet ab ὅρισε. Male vulgo legitur *νέμων*.

II. Scholiastes Comici ad Equites 84.

Ἐμοὶ δὲ λῷστον πῶμα ταύριον πιεῖν,
καὶ μή γε πλείω τῶνδ' ἔχειν δυσφημίας.

Hos quidem versus laudat Scholiastes ex Helena Sophoclis legitque in priore αἷμα ταύρου γ' ἐκπιεῖν. Utrumque male. Sunt ex Ægeo. Vide Casaubonum ad Athenæum p. 234. et Hesychii interpretes ad glossam Ταύρειον πόμα. Eustathius p. 881. l. 21. ἦν δὲ καὶ ποταμοῦ ὄνομα Τροιζηνίου, Ταῦρος· ἐξ οὗ καὶ ὕδωρ Ταύριον παρὰ Σοφοκλεῖ, παρ' ᾧ, φασὶ, καὶ κρήνη τις Τόεσσα καλεῖται. Lectionem enarratoris Comici secutus Grotius, hos versus sic reddidit:

Potare tauri sanguinem melius mihi,
maledicta quam tot tantaque istorum pati.

Observat vetus interpres Comici e Symmacho, opinionem de epoto taurino sanguine, quo sibi mortem consciverit Themistocles, e male intellecto Sophoclis loco ortam esse. Nempe πῶμα ταύριον pro taurino sanguine acceperunt, unde αἷμα ex glossa intrusum fuisse videtur. De Themistoclis morte vide Thucydidem p. 90. et Dukeri notam 87.

III. Pollux x. 160. καὶ κέστρα δὲ, σφύρας τινὸς εἶδος σιδηρᾶς, ὡς ἐν Αἰγεῖ Σοφοκλῆς·

κέστρᾳ σιδηρᾷ πλευρὰ καὶ κατὰ ῥάχιν
πλέον ἀλοῆσαι.

Sic legendum; non, ut in Polluce editum est, ἀλοῆσαι πλεῖον· nec πλεῖον ἀλοιῆσαι, ut Heathius.

IV. Stephanus in Χώρα—ἢ ἀπὸ τοῦ χώρα χωρίτης, ὡς ἀπὸ τοῦ ἕδρα ἑδρίτης, ἑσπέρα ἑσπερίτης. Σοφοκλῆς Αἰγεῖ·

ἐκλύομεν. οὐκ ἔγωγε χωρίτην σ' ὁρῶ.

καὶ ἐν Ἡρακλεῖ·

στρέφουσι κρήνης φῦλα χωρίτην ὕφιν.

Digitized by Google

Vide Toupii Epist. Crit. p. 123.

V. Pindari Schol. ad Pyth. ii. 62. Πειρατὰς, τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν· κυρίως δὲ, τοὺς ἐν ὁδῷ πακουργοῦντας· παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν Εὐριπίδης ἐν Ἀρχελάῳ·

ἕπαιρε' ὁδουροὺς λυμεῶνας.

καὶ Σοφοκλῆς ἐν Αἰγεῖ·

πῶς δῆθ' ὁδουρὸν οἷος ἐξέβης λαθών;

Vide Valckenarii Animadv. ad Ammonium p. 194.

VI. Schol. Homeri ad Odyss. η'. 106. Σοφοκλῆς ἐν Αἰγεῖ. (male vulgo ἐν Ἀργεῖ)

ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μακρᾶς,
κἂν ἄλλο μηδὲν, ἀλλὰ τοὐκείνης κάρα
κινεῖ· ἂν αὔραις, κἀνακουφίζει πτερόν.

ΑΙΓΙΣΘΟΣ.

Vide Lexicon in Ἀρύθμων.

ΑΙΘΙΟΠΕΣ.

I. Athenæus, p. 122. et ex eo partim Eustathius, p. 752.

Τοιαῦτα τοίνυν πρὸς χάριν τε καὶ βίᾳ
λέγω· σὺ δ' αὐτὸς, ὥσπερ οἱ σοφοὶ, τὰ μὲν
δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.

Cupiens tibi suadere, non te cogere,
hæc dico: tu, quod facere sapientes solent,
honesta lauda, sequere quod lucrum ferat.

II. Photius in Lexico Ms. citatus ab Albertio ad Hesychium, tom. i. col. 1472.

Ἐσφηκωμένον, ἐσφιγμένον. ἀπὸ τῶν σφηκῶν, οἳ κατὰ μέσον εἰσὶν ἐσφιγμένοι· ἔνθεν καὶ ὁ σφήν. Σοφ. Αἰθίοψι τοὺς ἐσφιγμένους μύρμηκας τῇ σαρκώσει·

Τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασι.

Ultima Glossatoris verba tanquam Tragici versum exhibuit Albertius, miro errore. Eadem habet ex eodem fonte petita, sed omisso fabulæ titulo, auctor Etymol. M. p. 385. initio. Huc pertinet Hesychii glossa: Σφηκοὶ, οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι.

III. Vide Lexicon in Ἄναρκτον. Ἀνθοβόσκον. Ἀπιστεῖ. Ὀρθόπτερον.

ΑΙΧΜΑΛΩΤΙΔΕΣ.

Genuinus hic est dramatis titulus, a librariis passim depravatus. Perperam citatur Sophocles ἐν Αἰχμαλώτοις, vel Αἰχμαλώτοισιν, quod posterius quidem ad verum propius accedit. Argumentum e Trojana historia sumptum docet auctor hypotheseos Ajacis. Agebant in eo Trojanæ mulieres captivæ, ut in Troasin Euripidis: sed diversa fuit tractandi ratio quam iniit Sophocles. Quantum enim ex exiguis reliquiis conjicere licet, satyricum fuit hoc drama.

I. Harpocration in ἀπομάττων. Σοφοκλῆς ἐν Αἰχμαλωτίσι·

Ἁπρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις.

καὶ πάλιν·

Δεινότατον ἀπομακτῆρα μεγάλων ξυμφορῶν.

II. Pollux x. 190. Αὐτὸ δὲ τὸ πήλινον, ὃ περιείληφε τὰ πλασθέντα κήρινα, ἃ κατὰ τὴν τοῦ πυρὸς προσφορὰν τήκεται, καὶ πολλὰ ἐκείνῳ τρυπήματα ἐναπολεί-

Digitized by Google

weται, λίγδος καλεῖται· ὅθεν καὶ Σοφοκλῆς ἔφη ἐν Αἰχμαλωτίσιν·

Ἀστὶς μὲν ἡμῶν, λίγδος ὡς, πυκνὸν πατεῖ.

Videnda ad eum locum docta Hemsterhusii nota.

III. Schol. Comici ad Ranas 233. *ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο. Σοφ. Αἰχμαλωτίσιν·*

Ὑφηρέθη σου κάλαμος, ὡσπερεὶ λύρας.

Pollux iv. 62. *Καὶ δόνακα δέ τινα ὑπολύριον οἱ κωμικοὶ ὠνόμαζον, ὡς πάλαι ἀντὶ κέρατος ὑποτιθέμενον ταῖς λύραις. ὅθεν καὶ Σοφοκλῆς εἴρηκεν· Ὑφηρέθη σου κάλαμος, ὡσπερεὶ λύρας.*

IV. Suidas in *Ὑπὸ παντὶ λίθῳ—Σοφ. Αἰχμαλωτίσι·*

Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.

Lapide sub omni latet insidians nepa.

Laudat hunc versum Scholiastes quoque Nicandri ad Theriac. 19. Notissimum proverbium ad quod alludit Comicus Thesmoph. 528.

V. Stephanus in *Βωμοὶ—τὸ τοπικὸν βώμιος, καὶ κατὰ παραγωγὴν, βωμιαῖος. Σοφ. Αἰχμαλωτίσι·*

Καὶ βωμιαῖον ἐσχάραν λαβών.

VI. Idem in *Εὐρώπη—λέγεται καὶ Εὐρώπεια, καὶ διὰ τοῦ ι Εὐρωπία παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτίσι·*

Καὶ νησιώτας, καὶ μακρὰς Εὐρωπίας.

Legendum forte *μακράν. et longe ab Europa.*

VII. Idem: *Χρύση, ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σοφ. Λημνίαις·*

Ὦ Λῆμνε, Χρύσης τ' ἀγχιτέρμονες πάγοι.

καὶ ἐν Αἰχμαλωτίσι·

Ταύτην ἐγὼ Κίλλαν τε καὶ Χρύσην.

Confudit Stephanus duas Chryses Lemniam et Troïcam. In Lemniarum versu intelligenda Chryse Lemni vicina: in Captivis vero Chryse Troïca, quod ostendit adjuncta Κίλλα, urbs agri Trojani. *Salmasius.*

VIII. Vide Lexicon in *Αἰχμόδετος. Ἀλιτροσύνη. Ἀμφίλινα. Ἀνηκές. Ἀπειθής. Ἄσεπτον. Ἄχνην. Βαιαί. Ἐμπλεύρου. Ἐνόπαις. Ἐνοτερνομαντίαις. Ἐπιμάσσεται. Ἴαννα. Ἱερόλας. Ἱκτορεύσομεν. Φαῦλον.*

ΑΚΡΙΣΙΟΣ ἢ ΛΑΡΙΣΣΑΙΟΙ.

Duplici titulo insignita fabula, cujus argumentum fuisse videtur mors Acrisii juxta oraculum a Perseo nepote interempti. Historiam vide in Apollodori Bibliotheca, lib. ii. cap. iv. 4.

I. Stobæus Floril. tit. viii. p. 51.

Βοᾷ τις; ἆ ἀκούει· ἢ ὑλακτῶ μάτην;
ἅπαντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

Clamatur. exauditis? an frustra obstrepo?
facile anima metuens audit aut fingit sonos.

II. Idem tit. xii. p. 79.

Ἀλλ' οὐδὲν ἔρπει ψεῦδος εἰς γῆρας χρόνου.

Mendacium recusat ætatem pati.

Hunc versum huic Sophocleo dramati adscribit cod. Vindob. et sequentem Aloadis.

III. Idem tit. lxii. p. 237.

Δοῦλον γὰρ ἐν δεσμοῖσι δραπέτης ἀνὴρ

Digitized by Google

κῶλον ποδισθεὶς, πᾶν πρὸς ἡδονὴν λέγει.
Fugitivus arctis vinculis coërcitus,
quin quæ placent loquatur, ambigere est nefas.

IV. Idem tit. lxxiv. p. 325.

Ἄλλως τε καὶ κόρη τε κ' Ἀργεία γένος,
αἳς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη.
Quum maxime sit virgo, et Argis edita,
Quarum decus silere, vel pauca eloqui.

V. Idem tit. lxxix. p. 339.

Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα
πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει.
Animi modesti liberos paucis decet
uti parentes ad suos sermonibus.

VI. Idem tit. cviii. p. 457.

θάρσει, γύναι· τὰ πολλὰ τῶν δεινῶν ὄναρ
πνεύσαντα νυκτὸς, ἡμέρας μαλάσσεται.
Ne metue, mulier: multa quæ in somnis mala
apparuerunt nocte, lenivit dies.

VII. Idem tit. cxx. p. 489.

Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.
Amare vitam nemo plus senibus solet.

VIII. Ibidem, p. 491.

Τὸ ζῆν γὰρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας.
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.
O nate, vita munus est dulcissimum:
namque homini eidem bis datum non est mori.

Indicem dramatis, e quo hi versus sumpti, dat Regius Stobæi codex.

IX. Idem tit. cxxvi. p. 515.

Χρὴ δὲ τῷ τεθνηκότι
τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον.
Mortuis vivos decet
Auxilia ferre, quippe morituros item.

X. Hesychius in fine Lexici col. 1603.

Ὡς καὶ τύραννον πᾶς ἐφίεται φυγεῖν.
Nempe et tyrannum nemo non fugere expetit.

XI. Athenæus, l. x. p. 466. Ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισσαίοις Ἀριστος καὶ αὐτὸς ἐκπώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ Τραγικός·

Πολὺν δ' ἀγῶνα πανξένοις κηρύσσεται,
χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν,
καὶ κοῖλα χρυσόκολλα, καὶ πανάργυρα
ἐκπώματ', εἰς ἀριθμὸν ἐξήκοντα δίς.

XII. Stephanus in Δώτιον—ὁ πολίτης, Δωτιεύς. Σοφ. Λαρισσαίοις·

Κᾆμοὶ τρίτον πίπτοντι Δωτιεὺς ἀνὴρ
ἀγχοῦ προσῆψεν ἐλαφρὸν ἐν δισκήματι.

XIII. Idem. Κράνεια, χωρίον Ἀμβρακιωτῶν. τὸ ἐθνικὸν Κρανειάτης, ὡς Μαρειάτης, ὥς φησι Σοφοκλῆς Λαρισσαίοις.

XIV. Vide Lexicon in Ἄδοξα. Ἀκτίτης. Ἀλοίματα. Ἀνταῖαν. Ἀπόδρομον. Ἀποφανθεὶς. Ἀρώματα. Ἄστομος. Βίδην. Ἰλλάδας.

Digitized by Google

ΑΛΕΞΑΝΔΡΟΣ.

Dramatis sincerus titulus est Ἀλέξανδρος, non, ut sæpe citatur, Ἀλέξανδρα. Argumentum erat Paris agnitus et receptus a Priamo patre, postquam in ludis omnium certaminum victor evasisset. Vide Hygini Fab. xci.

I. Stephanus in Ἄστυ—ἀπὸ τοῦ ἄστος, τὸ ἀστίτης. Σοφ. Ἀλεξάνδρῳ·

οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει.

καὶ

βοτῆρα νικᾷν ἄνδρας ἀστίτας.

II. Idem in Ἔφεσος—τὸ ἐθνικὸν, Ἐφέσιος. εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω καὶ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς.

III. Eustathius p. 533. ubi de nominum in της tono agit: Τὸ παρὰ Σοφοκλεῖ, φασὶν, ἐν Ἀλεξάνδρῳ, Πτείχων ἀγρώστην ὄχλον, παράνυμόν ἐστι, καὶ οὐ ῥηματικόν.

IV. Vide Lexicon in Δύσαυλος. Θηλάστρια. Μαιεύτριαν. Μνείαν.

ΑΛΗΤΗΣ.

Diversimode scriptus occurrit hujus fabulæ titulus, Ἀλείτης, Ἀλήτης. Posterius ubique observo in Stobæi codice, præterquam duobus in locis, ubi primum scriptum fuerat Ἀλείτῃ, quod ab eadem manu emendatum in Ἀλήτῃ. Videtur autem esse nomen proprium viri. Nam de fabulæ argumento nihil compertum habemus. Memoratur Aletes, unus ex Herculis posteris, qui post Heraclidarum in Peloponnesum reditum Corinthum obtinuit; unde Pindaro Olymp. xiii. 17. Corinthii appellantur παῖδες Ἀλάτα. Vide Pausaniam p. 120. Est etiam ἀλήτης nomen appellativum, πλανήτην, erronem significans; quo Noster utitur in Œd. Col. Inde petitum acumen dicti, quod in proverbium cessit, δέχεται καὶ βῶλον ἀλήτης. Vide Zenobium iii. 22.

I. Stobæus Floril. tit. iii. p. 15.

Ψυχὴ γὰρ εὔνους, καὶ φρονοῦσα τοὔνδικον,
κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρέτις.

Tranquillus animus, conscius recte sibi,
multa aptus est reperire, quæ vafros latent.

II. Idem tit. xxxv. p. 141.

Βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφά.

Contracta multum verba habent sapientiæ.

III. Idem tit. xxxvi. p. 145.

Ἀνὴρ γὰρ ὅστις ᾔδεται λέγων ἀεὶ,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

Quicunque sese semper audiri cupit,
aliis molestus quam sit haud intelligit.

Recte Grotius hos versus designat tanquam ex Sophoclis Alete, quod confirmat adscriptum lemma in cod. Vindob. Gesnerus eos tribuit Euripidi in Dictye.

IV. Idem tit. lxxviii. p. 361.

Ἀλλ' εἶπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν' ὅτου τ' εἶ καὶ πόθεν. τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μάσειεν λόγος.

Si, vera fatus, nobilem te prædicas,
proloquere qui sis, qua domo. nam pollui
sermone nullo celsa nobilitas potest.

V. Idem tit. lxxix. p. 363.

Digitized by Google

Ἀλλ' ἀξίως ἔλεξας, οὐδὲ μὴν πικρῶς.
γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν
εὐκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον.

Clementer es locutus, atque ut te decet.
nam specimen edens clara nobilitas sui,
vanis relictis, solida sectatur bona.

VI. Idem tit. cv. p. 439.

Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτοῦ,
ἢ μικρὸν, ἤτοι μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταυτῷ μένει.

Quid est quod aliquis alteri sortem datam
summo infimove ponat, aut nullo in loco,
quum nihil in una sede permaneat diu?

VII. Idem tit. cvi. p. 445.

Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ἄπο
βλαστόντας, εἶτα τούσδε μὲν πράσσειν καλῶς·
τοὺς δ' ὄντας ἐσθλοὺς, ἔκ τε γενναίων ἅμα
γεγῶτας, εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα
τοὺς δ' ὄντας ἀδίκους, τούσδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.
κοὐδεὶς ἂν οὕτως εὐτύχει κακὸς γεγώς.

Malos profanis prosatos genitoribus
florere rebus prosperis, visu grave:
stirpem bonorum rursus ingenio probo,
malis subactos, cladibus mersos premi.
disponere aliter cura debuerat Deûm
mortalium res: nam pios decuit palam
bona largitate consequi cœlestium:
contra, scelestos paria criminibus suis
supplicia aperte luere Diis ultoribus.
ita res secundas nemo jactaret malus.

V. 8. elegantem codicis lectionem restitui, τούσδε. Vulgo τῶνδε. *Quod autem ad scelestos attinet, hos*—Sicque legendum esse jam olim conjecisse desideratissimum Valckenarium ex illius schedis comperio.

ΑΛΚΜΑΙΩΝ.

I. Porphyrius Quæst. Homer. i. Σοφ. Ἀλκμαίωνι·

Εἴθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν
ἐπήβολον καλῶν σε.

II. Plutarchus de audiendis poëtis p. 35. Ἂν δὲ φαύληταί τις ἐπιλήψεως δεόμενος, τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν ἐπιλαμβάνου, ὥσπερ ὁ τραγικὸς Ἄδραστος, τοῦ Ἀλκμαίωνος εἰπόντος πρὸς αὐτὸν,

Ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς.

ἀπεκρίνατο·

Σὺ δ' αὐτόχειρ γε μητρὸς, ἣ σ' ἐγείνατο.

A. Tu frater illi es, quæ virum occidit suum.

Digitized by Google

B. At tu interemptor ipse genetricis tuæ.

Hos versus iterum profert Plutarchus in libro de capienda ex inimicis utilitate, p. 88. E Sophoclis Alcmæone petitos esse probabiliter opinabatur Valckenarius.

III. Vide Lexicon in Αἰνῶ. Ἀραίας.

ΑΛΩΑΔΑΙ Σάτυροι.

Sic scribi debet dramatis hujus titulus. Vide Hemsterhusium ad Luciani Contemplantes, p. 494.

I. Stobæus Floril. tit. ix. p. 53.

Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον.

Justis recalcitrare difficilis labor.

II. Idem tit. xii. p. 79.

Κακὸν τὸ κεἰθειν, κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.

Illiberalis ingenii est simulatio.

III. Idem tit. xiii. p. 83.

Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

Nam justa lingua maximam vim possidet.

IV. Idem tit. xxxiii. p. 139.

Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.

Tace, puer: bona magna sunt silentii.

V. Idem tit. xxxvi. p. 143.

Τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι;
τὰ γὰρ περισσὰ πανταχοῦ λυπηρ' ἔπη.

Quid verba fundis impetu tam prodigo?
semper molestus est supervacuus labor.

VI. Idem tit. xli. p. 161.

Μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαλεῖν κακόν.

Ne sciscitare: multa fari haud expedit.

VII. Idem tit. xliii. p. 163.

Κοὐκ οἶδ' ὅ τι χρὴ πρὸς ταῦτα λέγειν.
ὅταν οἵ γ' ἀγαθοὶ πρὸς ἀγεννήτων
καταγνικῶνται,
ποία πόλις ἂν τάδ' ἐνέγκοι;

Quæ ad hæc dicam, mens ambigua est.
ubi degeneres vicere bonos,
quænam urbs subsistere possit?

Vide Valckenarium Diatr. Eurip. p. 15.

VIII. Idem tit. liv. p. 207.

Δοκῶ μὲν, οὐδείς· ἀλλ' ὅρα, μὴ κρεῖσσον ᾖ
καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν,
ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν.

Nemo, ut videtur. sed vide an non rectius
sit vincere hostem quamlibet fraude impia,
quam servitutem ferre et imperium pati.

IX. Idem tit. lxxvi. p. 331.

Παῦσαι. καταρκεῖ τοῦδε κεκλῆσθαι πατρὸς,
εἴπερ πέφυκά γ'· εἰ δὲ μή, μείων βλάβη.
τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.

Tace. mihi illo patre censeri satis est,

Digitized by Google

sive ille pater est; seu minus, refert nihil.
res credita et recepta plus vero valet.

Recte in Reg. cod. scriptum μείων βλάβη, uti et legendum esse conjecerat olim Gesnerus pro vulgato μείζων. Vide quæ observavi ad Æschyli Prometheum 1021. Grotius dedit τίς ἂν βλάβη; Sunt autem ista Oti vel Ephialtæ ad aliquem qui geminos illos mortali satu editos arguebat, Neptunumque patrem eorum esse negabat.

X. Idem tit. lxxviii. p. 333.

Ὁ δὴ νόθος τοῖς γνησίοις ἴσον σθένει.
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.

Proles notha et legitima tantumdem valet.
quicunque probus est, hunc probe natum puta.

Horum senariorum alterum profert Clemens Strom. vi. p. 741. sed interpolatum.

XI. Idem tit. xci. p. 371. et Plutarchus de audiendis poëtis, p. 21.

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
καὶ δὴ τιμὰς, εἶτα τῆς ὑπερτάτης
τυραννίδος ἐσάγουσιν ἡδίστην ἔδραν.
κἄπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ', οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.
δεινὸς γὰρ ἔρπειν πλοῦτος ἔς τε τἄβατα,
καὶ πρὸς τὰ βατὰ δὴ, χἀπόθεν πένης ἀνὴρ
μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς ὄμμα καὶ δυσώνυμον,
γλώσσῃ σοφὸν τίθησιν, εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ, κἀπικρύψασθαι κακά.

Divitiæ amicos comparant mortalibus:
exinde decus famamque: tum facto gradu
ad celsa tendunt imperii fastigia:
nec invenitur, oderit qui divitem;
aut si quis odit, odia dissimulat tamen.
per invia atque pervia ex æquo invenit,
qua penetret aurum: pauper, ut sit maxime
felix, potiri vota quit nunquam sua.
at ore fœdos, nomine aspernabiles,
pulcros, disertos, inclytos nummus facit:
tum facile dives gaudet aut morbo cubat,
utcumque res fert, et sua occultat mala.

V. 3. τυραννίδος ἐσάγουσιν. In cod. scriptum τυραννίδος τ' ἄγουσιν. Grotius prava conjectura dederat θακοῦσιν. Divitiæ ἄγουσιν εἰς ἕδραν. Librarii solemni errore exciderat compositi verbi præpositio. V. 4. cod. dat κἄπειτα. V. 7. δὴ fulciendo versui aptum inseruit Heathius. Male Grotius: καὶ πρὸς τὰ βατά. καὶ οὔποτ' ἂν πένης ἀνήρ. In Plutarchi edit. Aldina legitur καὶ ὁπόθεν in cod. vero emendate, χἀπόθεν. V. 8. cod. μηδ' εἰντυχών. Vera est Plutarchi lectio ἐντυχὼν, hac sententia: καὶ πρὸς τὰ βατὰ, καὶ ἔνθα, ὁπόθεν ὁ πένης μηδὲ ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν. et eo, quo si pervenerit pauper, non tamen efficiet, ut voto suo potiatur. Vel etiam ellipsin hoc modo supplere possis: καὶ τυγχάνει ὧν ἐρᾷ ἔνθεν, ὁπόθεν ὁ πένης μηδὲ ἐντυχὼν δύναιτ' ἂν τυχεῖν. V. 9. ὄμμα legitur in cod. Reg. Vulgo σῶμα. V. 10. γλώσσῃ dativus est. Ut εὔμορφον opponitur

Digitized by Google

τῷ δυσειδὲς ὄμμα, sic γλώσσῃ σοφὸν opponitur τῷ δυσώνυμον, quod rariori significatu hic *prave loquentem* notat. Nescio quid sibi velit Heathius γλώσσῃ casu recto legens, tanquam si de vi non divitiarum, sed eloquentiæ hic ageretur. V. ult. cod. καποκρύψασθαι.

XII. Ælianus de Nat. Animal. vii. 39. Ὅσοι λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας· Σοφοκλέα μὲν εἰπόντα,

Νομὰς δέ τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων
καθεῖρπεν ἔλαφος.

καὶ πάλιν·

ἄρασα μύξας καὶ κερασφόρους
στόρθυγγας εἷρπεν ἔκηλος.

καὶ ταῦτα μὲν ὁ τοῦ Σοφίλου ἐν τοῖς Ἀλωάδαις. Penultimi versus voces invertit Heathius legens μύξας ἄρασα. Nescio an ob metrum. Sed animadvertere debebat vocem μύξας sic positam senarii secundam sedem tenere, quæ spondeo non magis quam quarta permissa est. Equidem crediderim vocem μύξας, alioquin probam, hic a Tragico adhibitam non fuisse. Quid, si legamus?

ἄρασα μυκτῆράς τε καὶ κερασφόρους.

XIII. Vide Lexicon in Ἐφυμνεῖς.

ΑΜΥΚΟΣ Σατυρικός.

Vide Lexicon in Λαγός. Σιαγόνος.

ΑΜΦΙΑΡΑΟΣ Σατυρικός.

I. Schol. Comici ad Ranas 484. Ὡρακιάσαι λέγεται τὸ ὑπὸ φόβου ὠχριάσαι, ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ·

τὸ δ' ὠχριάσθαι θλιβομένης τῆς καρδίας.

II. Idem ad Vespas 1501. Σοφοκλῆς Ἀμφιαράῳ·

Ὁ πιννοτήρης τοῦδε μάντεως χοροῦ,

Forte scripserat Tragicus:

Ὁ πιννοτήρης τοῦδε χωρεῖ μάντεως.

III. Athenæus, l. x. p. 454. postquam Tragicorum ῥήσεις aliquot protulit, in quibus homines rustici literarumque rudes, describentes literarum figuras, ænigmatice personarum nomina designant, Sophoclis meminit rusticum inducentis, qui literarum formas non verbis, sed schematibus et gestu saltando exprimeret: Καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ σατυρικῷ, τὰ γράμματα παράγων ὀρχούμενον.

IV. Strabo, l. ix. p. 399. Μετὰ δὲ Μαραθῶνα Τρικόρυθος, εἶτα Ῥαμνοῦς, τὸ τῆς Νεμέσεως ἱερόν· εἶτα Ψωφὶς, ἡ τῶν Ὠρωπίων· ἐνταῦθα δέ που καὶ τὸ Ἀμφιαράειόν ἐστι, τετιμημένον ποτὲ μαντεῖον, ὅπου φυγόντα τὸν Ἀμφιάρεων, ὥς φησι Σοφοκλῆς,

Ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις
αὐτοῖς ὅπλοισι καὶ τετρωρίστῳ δίφρῳ.

Ex Amphiarao hos versus esse opinatur Meursius, qui et in Alcmæone et in Eriphyla esse itidem potuerunt.

V. Ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει. κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ. Scholiastes Ms. Platonis. Confer Zenobium ii. 14.

VI. Vide Lexicon in Ἁγνίσαι. Ἀλεξαίθριον. Κατεφρόνεε. Πέλον. Τρασιά.

ΑΜΦΙΤΡΥΩΝ.

Vide Scholiastam nostrum ad Œd. Col. 390. et Lexicon in Ἀμφιτέρμως. Ἄτμητον.

Digitized by Google

ΑΝΔΡΟΜΑΧΗ.

Vide Lexicon in Παρασάγγαι.

ΑΝΔΡΟΜΕΔΑ Σατυρική.

I. Eratosthenes Catasterism. 16. Τὴν Κασσιέπειαν ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν Ἀνδρομέδᾳ, ἐρίσασαν περὶ κάλλους ταῖς Νηρηΐσιν, εἰσελθεῖν εἰς τὸ σύμπτωμα, καὶ Ποσειδῶνα διαφθεῖραι τὴν χώραν, κῆτος ἐπιπέμψαντα.— Idem. 36. Τοῦτο τὸ κῆτός ἐστιν ὁ Ποσειδῶν ἔπεμψε Κηφεῖ, διὰ τὸ Κασσιέπειαν ἐρίσαι περὶ κάλλους ταῖς Νηρηΐσι· Περσεὺς δ' αὐτὸ ἀνεῖλε, καὶ διὰ τοῦτο εἰς τὰ ἄστρα ἐτέθη, ὑπόμνημα τῆς πράξεως αὐτοῦ· ἱστορεῖ δὲ ταῦτα Σοφοκλῆς ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐν τῇ Ἀνδρομέδᾳ.

II. Athenæus, l. xi. p. 482. Ὅτι δὲ καὶ πλοῖον ἡ κύμβη, Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησίν.

Ἵπποισιν, ἢ κύμβαισι ναυστολεῖς χθόνα;

Profert etiam hunc senarium Eustathius p. 1205. adjuncta interpretatione: ἱππότης ἥκεις ἢ διὰ πλοίου; Confer Valckenarium ad Herodotum p. 498. 8.

III. Phrynichus Ecl. nom. Att. p. 164. Πολλὴν διατριβὴν ἐποιησάμην ἐπισκοπούμενος, εἰ μόνον λέγεται πρόσφατος νεκρὸς, καὶ μὴ πρόσφατον πρᾶγμα. εὑρίσκετο δὲ Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω·

Μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς.

IV. Schol. Theocriti ad Id. iv. 62. Τοὺς Σατύρους οἱ πλείονές φασιν, ὡς καὶ τοὺς Σειληνοὺς, καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ.

V. Hesychius: Κουρίον. Σοφ. Ἀνδρομέδᾳ.

Ἡμῖν σύ τοι κούρειον ῥῆθης πόλει.
νόμος γάρ ἐστι τοῖσι βαρβάροις Κρόνῳ
θυηπολεῖν βρότειον ἀρχῆθεν γένος.

Videndi Hesychii interpretes. Κούρειον, juxta Etymol. M. auctorem, καλεῖται ἐν Ἀττικῇ τὸ ἱερεῖον τὸ θυόμενον, ἡνίκα ἐγράφοντο οἱ κοῦροι εἰς τοὺς φράτορας. Sophocles hic aliter accepisse videtur pro humana victima Saturno offerenda. Chori videntur esse verba ad Andromedam.

VI. Pollux x. 120. Σοφοκλῆς δ' ἐν Ἀνδρομέδᾳ Αὐτολίθοισι λιθύθοις ἔφη, δηλῶν ἀλαβάστους μονολίθους. Perperam in Onomastico legitur αὐτοχείλεσι nullo sensu. αὐτόλιθος est μονόλιθος, ut in Philoct. 35. αὐτόξυλον ἔκπωμα est ποτήριον μονόξυλον. Nihil verius videtur hac Hemsterhusii conjectura.

VII. Vide Lexicon in Ἀμβλύσκει. Ἀμφίπρυμνον. Ζευξίλεως. Μάσθλητας. Οἰάταν. Σαλητόν.

ΑΝΤΗΝΟΡΙΔΑΙ.

I. Eustathius p. 405. e Strabone p. 905. Σοφοκλῆς ἱστορεῖ ἐν ἁλώσει Ἰλίου παρβαλέην τῆς θύρας προτεθῆναι τοῦ Ἀντήνορος, σύμβολον τοῦ ἀπόρθητον ἐαθῆναι τὴν οἰκίαν· τὸν δὲ ἅμα παισὶ μετὰ τῶν περιγενομένων Ἐνέτων εἰς Θράικην περισωθῆναι, κἀκεῖθεν διεκπεσεῖν εἰς τὴν ἐν τῷ Ἀδρίᾳ Ἐνετικήν. Pertinent ista ad Antenoridas cujus dramatis mentio initio argumenti Ajacis. Male accepta Strabonis verba Fabricio aut nescio cui alii occasionem dedere Sophocli drama affingendi, quo titulo nullum unquam edidit, Ἰλίου ἅλωσιν.

II. Athenæus l. iv. p. 373. Σοφοκλῆς Ἀντηνορίδαις·

Ὄρνιθα, καὶ κήρυκα καὶ διάκονον.

Digitized by Google

Vide Lexicon in Ἀφεψιασάμην. Ἐκβαβάξαι.

ΑΤΡΕΤΣ ἢ ΜΥΚΗΝΑΙΑΙ.

Sic erat titulus dramatis, non Μυκῆναι, ut vulgo legitur. Posterius nomen a personis, quibus constabat chorus, ut Τραχίνιαι, Φοίνισσαι, Σκύριαι, alia.

I. Scholiastes Euripidis ad Hippolytum 309.

Μὰ τὴν ἐκείνου δειλίαν, ᾗ βόσκεται,
θῆλυς μὲν αὐτὸς, ἄρσενας δ' ἐχθροὺς ἔχων.

Juro per illam, qua alitur ille, ignaviam,
mera femina ipse, sed mares hostes habens.

Μὰ in his versibus, negationi, quæ in amissis versibus præcedebat, confirmandæ adhibetur, ut semper apud veteres et probatos scriptores; quod divinare poterat vir doctus, qui hoc exemplo abusus est in Miscell. Observ. vol. v. p. 281. In Platonis loco quem protulit Berglerus, legendum procul dubio καὶ νὴ Δία.

II. Vide Lexicon in Ἐπισπάσει.

ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ ἢ ΣΥΝΔΕΙΠΝΟΝ ἢ ΣΥΝΔΕΙΠΝΟΙ.

Diversi sunt ejusdem dramatis tituli, quod primus animadvertit acutissimi vir ingenii Joannes Toup Ep. Crit. p. 133. Ad titulum alludit Cicero obscura sententia in Ep. ad Quintum fratrem ii. 16. Συνδείπνους Σοφοκλέους, *quanquam a te actam fabellam video esse festive, nullo modo probavi.* Athenæus lib. iii. p. 365. Σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας—διόπερ τινὲς καὶ τὸ Σοφοκλέους δρᾶμα κατὰ τὸ οὐδέτερον ἐπιγράφειν ἀξιοῦσι ΣΥΝΔΕΙΠΝΟΝ. Fuit autem, quod liquido e fragmentis appareat, drama satyricum.

I. Stobæus Floril. tit. xxvi. p. 119.

Ἀάθα
Πιερίσι στυγερὰ κἀνάρσιος·
ἃ δὲ μνᾶσίς γ' εὐποτμότατος,
θνατοῖς μελέου
ἀνέχουσα βίου βραχὺν ἰσθμόν.

Oblivisci
res Piero male grata choro.
meminisse juvat,
et sæcla beans hominum, miseri
confinia continet ævi.

II. Athenæus l. i. p. 17. et ex eo Eustath. p. 1828.

Ἀλλ' ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην
ἔβριψεν, οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ
κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον·
ἐδειματούμην δ' οὐ φίλης δσμῆς ὅπο.

V. l. ἀμφὶ θυμῷ, valet *præ ira*, quod Casaubonum fugisse miror. Vide quæ notavi ad Apollonii Argon. ii. 96. De matularum usu in conviviis, quod Sybaritarum inventum fuisse perhibetur, vide Gatakerum, tom. i. p. 293.

III. Idem fr. xv. p. 679.

Οὔ τοι γένειον δδε χρὴ διηλιφὲς
φοροῦντα, κἀντίπαιδα καὶ γένει μέγαν,
γαστρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

Os te perunctum ferre nequaquam decet,
præsertim ephebum, genere tanto, filium

Digitized by Google

ventris vocari turpe, quum liceat patria.

IV. Idem l. xv. p. 696.

Φορεῖτε, μασσάτω τις, ἐγχείτω βαθὺν
κρητῆρ'· ἀνὴρ δ' οὐδεὶς, πρὶν ἂν φάγῃ, καλῶς,
ὁμοῖα καὶ βοῦς ἐργάτης, ἐργάζεται.

V. Schol. Pindari ad Isthm. ii. versum penult. *Τὸ γὰρ ἀπάνευμον, ἀντὶ τοῦ ἀνάγνωθι.* Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ·

Σὺ δ' ἐν θρόνοισι γραμμάτων πτύχας ἔχων,
ἀπόνευμον.

καὶ πάλιν·

Νέμει τίς οὐ πάρεστι, τίς ξυνώμοσε.

Vide Toupium ad Theocriti Epithalamium Helenæ 48.

VI. Pollux x. 133. *Τὰ δὲ ναυτικὰ σκεύη—πλῆκτρα, ὡς Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ·*

Ὡς ναοφύλακες νυκτέρου ναυκληρίας
πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν.

VII. Plutarchus Moral. p. 74. *Ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλλέα παροξύνων Ὀδυσσεύς, οὔ φησιν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλὰ φησίν·*

Ἤδη τὰ Τροίας εἰσορῶν ἑδώλια
δέδοικας.

καὶ πρὸς ταῦτα πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος, καὶ ἀποπλεῖν λέγοντος·

Ἐγὼ δ' ὃ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς·
ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστίν· οὐ μένειν καλόν.

Vocem ἑδώλια, qua utitur Noster eodem sensu in El. 1393. perperam accepit Grotius, qui hos versus in Excerptis p. 150. sic vertit:

Simulatque transtra classis Iliacæ vides,
trepidas.
Quid expavescas video, non famæ notam;
sed appropinquat Hector; haud tuta est mora.

Diversam lectionem ultimi versus commendat Valckenarius ad Phœnissas p. 272. vulgatam præfero. Est autem hoc fragmentum ex Achivorum convivio, quod acute vidit supra laudatus Toupius.

VIII. Herodianus *περὶ σχημάτων* in Anecd. Gr. I. B. Casp. de Villoison, tom. ii. p. 94. *Ἀστεῖσμὸς δέ ἐστι προσποίησις πιθανὴ τοῦ μὴ λέγειν ἢ μνημονεύειν ἡμᾶς ἃ λέγομεν, ὡς παρὰ Σοφοκλεῖ εἰσῆκται λέγων Ὀδυσσεὺς τῷ Διομήδει·*

Ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδέν, οὐδ' ὅπως
φυγὰς πατρῴας ἐξελήλασαι χθονός·
οὔθ' ὡς ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενοῦς
κτείνας, ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται·
οὐδ' ὡς πρὸ Θηβῶν ὠμοβρῶς ἐδαίσατο
τὸν Ἀστάκειον παῖδα, διὰ κάρα τεμών.

Sic legendi hi versus. Nota Tydei immanis feritas, qui occisi ab Amphiarao Melanippi, a quo prius ipse vulneratus fuerat, recisum caput diffidit, et cerebrum sorbuit; quare Lycophron v. 1066. Diomeden appellat *παῖδα τοῦ κρατοβρῶτος ἀτρίστου κάπρου.* Vir laudatissimus rerumque bene multarum peritissimus in argumentis Sophocleorum fabularum parum versatus videtur, qui versus istos ab alterutra fabularum desumptos opinatur, quibus ab Ulysse nomen inditum, tanquam si heros nunquam in scenam inductus fuisset aliquis nisi in cognomine dramate. In neutro Ulysse hi versus exstare potuerunt: argumentum

Digitized by Google

utriusque cognitum, actionis tempus, scenæ locus: in neutro Diomedis ullæ partes esse potuerunt. Sunt procul dubio ex Achivorum convivio.

IX. Vid. Scholiastam nostrum ad Œd. Col. 9. Aj. 190. et Lexicon in Ἀζαιῶται. Βέβηλος. Ἐκκεκώπηται. Ἐπιξενοῦσθαι. Ἐπισειούσης. Μάσθλητας. Ξυμβόλους.

ΑΧΙΛΛΕΩΣ ΕΡΑΣΤΑΙ Σάτυροι.

I. Stobæus Floril. tit. lxiv. p. 263.

Νόσημ' ἔρωτος τοῦτ', ἐφίμερον κακόν·
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου, χεροῖν
κρύσταλλον ἁρπάσωσι παῖδες ἀσταγῆ.
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους·
τέλος δ' ὁ χυμὸς οὔτ' ἀφεθῆναί πως θέλει,
οὔτ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν.
οὕτω γε τοὺς ἐρῶντας ὡὐτὸς ἵμερος
δρᾷν καὶ τὸ μὴ δρᾷν πολλάκις προΐεται.

Amor diei unius ægrimonia est;
quem posse simili exprimere sic videor mihi.
quoties sereno nascitur cœlo gelu,
gaudet manu tractare concretas aquas
grex pusionum, atque ea voluptas maxima est:
tandem liquescens unda dimitti negat,
quanquam teneri commode manibus nequit.
sic æstus idem saucios amoribus
cogit vicissim pergere et desistere.

Notum proverbium ad quod hic alluditur. Zenobius v. 58. Ὁ παῖς τὸν κρύσταλλον. ἐπὶ τῶν μήτε κατέχειν δυναμένων, μήτε μεθεῖναι βουλομένων, ἡ παροιμία εἴρηται. μέμνηται αὐτῆς Σοφοκλῆς Ἀχιλλέως ἐρασταῖς. Initio fragmenti νόσημ' ἔρωτος τοῦτ' e codice dedi; ἐφίμερον ex Meursii correctione. V. 5. codex liquido ποταινίους, ut erudite conjecerat Scaliger. Sequens in libris ita depravatus est, ut nulla structuræ legitimæ forma in eo reperiatur: planus sensus, ad quem verba exegi. Hesychius: ἀφεθῆναι, ἀπολυθῆναι.

II. Scholiastes Lyrici ad Nem. iii. 60. Διωκομένη ἡ Θέτις ὑπὸ τοῦ Πηλέως, μετέβαλλε τὰς μορφὰς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία. ὁ δὲ καρτερήσας, περιγέγονε, περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν ἐν Ἀχιλλέως ἐρασταῖς.

Τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων,
δράκων τε, πῦρ, ὕδωρ.

Nam quod malorum non mihi genus imminet?
aqua, ignis, et leo, et draco.

Nescio qui Grotio in mentem venerit, vocem excidisse. Locus, si quis alius, sanus et integer, nec illius, nec Heathii supplemento eget. Non autem ab alio proferri hæc verba potuerunt, quam a Peleo ipso, qui in hac fabula partes agebat, cujus scena in Thessalia esse debuit. Proinde diversa est a Scyriis. Schol. Aristophanis ad Nubes 1064. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησιν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Quæ totidem verbis leguntur etiam in scholiis ad Apollonii Argonautica iv. 816.

III. Idem ad Nem. vi. 90. Οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ

Digitized by Google

'Αχιλλέως—ἀλλ' ὅτι ἰδιότερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γὰρ, ὥστε δύο αἰχμὰς ἔχειν, καὶ μιᾷ βολῇ δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. Σοφοκλῆς ἐν 'Αχιλλέως ἐρασταῖς·

Ἡ δορὸς διχόστομον πλῆκτρον.
δίκτυχοι γὰρ ὀδύναι νιν ἥρικον
'Αχιλληίου δόρατος.

Canebantur ista a choro. Primum tantum esse Sophoclis versiculum credidit Heathius, qui forte non satis attente Scholiastæ verba perpenderat.

IV. Scholiastes Comici ad Vespas 1021. Παιδικὰ ἐπὶ ἀῤῥένων καὶ ἐν τοῖς 'Αχιλλέως ἐρασταῖς ἐξείληπται. ἐπιδόντων γάρ τι τῶν Σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν, φησὶν ὁ Φοίνιξ·

Παπαῖ, τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπάλεσας.

Confer Suidam, apud quem Eupolidis versus sic e Photii lexico Ms. scribendus:

Ἐγὼ δὲ χαίρω πρός γε τοῖς σοῖς παιδικοῖς.

V. Athenæus l. ix. p. 401. Τίς μνημονεύει, κατὰ τὸ σύνθετον ὁμοίως ἡμῖν, συάγρου, ἐπὶ τοῦ ἀγρίου συός; Σοφοκλῆς μὲν γὰρ ἐν 'Αχιλλέως ἐρασταῖς ἐπὶ κυνὸς ἔταξε τοὔνομα, ἀπὸ τοῦ σῦς ἀγρεύειν, λέγων·

Σὺ δ', ὦ σύαγρε, Πηλιωτικὸν τρέφος.

Apud Eustathium p. 1872. legitur: Πηλιωτικὸν βρέφος.

VI. Vide Scholiastam nostrum ad Œd. Col. 481. et Lexicon in 'Ομμάτεως πάθος. Ad hanc fabulam respiciebat Ovidius his elegis Trist. ii. 409.

Est et in obscenos deflexa Tragœdia risus,
multaque præteriti verba pudoris habet.
nec nocet auctori, mollem qui fecit Achillem,
infregisse suis fortia facta modis.

ΔΑΙΔΑΛΟΣ.

I. Pollux vii. 117. Ἐπεὶ δὲ καὶ τοὺς οἰκοδόμους Ὅμηρος τέκτονας καλεῖ, καὶ ἀρχιτέκτων εἴρηται παρὰ Πλάτωνι. βιαία γὰρ ἡ ἐν τῷ Σοφοκλέους Δαιδάλῳ Τεκτόναρχος Μοῦσα.

II. Schol. Ms. Platonis: Σαρδάνιος γέλως—Σιμωνίδης δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνωϊ, φύλακα τῆς νήσου ποιήσασθαι, ἔμψυχον ὄντα, τοὺς περιπλέοντας φησὶ κατακαίοντα ἀναιρεῖν. ὅθεν, ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα, τὸν σαρδάνιον φησὶ λεχθῆναι γέλωτα. ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ. Confer Parœmiographos in Σαρδάνιος γέλως.

III. Schol. Apollonii Rhodii ad iv. 1638. Τάλως δὲ ἦν μὲν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ. ὅλος δὲ χαλκοῦς ὢν σύριγγα εἶχεν ἐπὶ τοῦ σφυροῦ ὑμένι περιεχομένην. σύριγξ δέ ἐστιν ἡ περόνη. βαγείσης οὖν τῆς σύριγγος εἵμαρτο ἁλῶναι αὐτόν. τοῦτο δὲ καὶ Σοφοκλῆς φησιν ἐν Δαιδάλῳ. Perperam ibi legitur ἐν Τάλῳ, cujus nominis nulla fuit Sophoclis fabula.

IV. Vide Lexicon in Γοργάδων. Ἐσέφθην.

ΔΑΝΑΗ.

Vide Scholiastam nostrum ad Ajacem initio: et Lexicon in Ἀνθήμερον. Ἀφροδισία. Βράχιστον. Δαιμονίζεσθαι. Ζῇ.

ΔΟΛΟΠΕΣ.

Vide Lexicon in Εὐναῖος.

Digitized by Google

ΕΛΕΝΗ. ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ. ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ. ΕΛΕΝΗΣ ΓΑΜΟΣ.

Fabulas quibus argumentum præbuit Helenæ historia, omnes conjungo; nescio quatuorne dicam, an tres, an solummodo duas. ΕΛΕΝΗ citatur nude a Comici enarratore ad Equites 84. ubi duos senarios profert, quos supra in Ægeo dedimus. ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ laudatur ab auctore argumenti Ajacis, et ita quidem, ut intelligatur exhiberi in hoc dramate, si modo scriptum fuit unquam, debuisse Helenam e Troja ereptam, non autem Thesei facinus, qui illam necdum maturam rapuerat. Reliquarum duarum certior est auctoritas. Versus ex Ægeo nescio cur Grotius ad *Helenæ nuptias* retulerit potius quam ad *Helenæ repetitionem:* tam hujus quam alterius esse possint. Ex alterutra videntur esse verba quæ e Tragico innominato profert Eustathius p. 397. Σαφέστερον δὲ καὶ ἀνθρωπικώτερον τὸ τῆς Ἑλένης ἔδειξε κάλλος, ὁ εἰπὼν Τραγικός·

ἦν καλλίστην
χρυσοφαὴς ἥλιος αἰγάζει.

I. Schol. Euripidis ad Phœnissas 312. Εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν αἱ Φοίνισσαι, ἀλλ' οὖν γε τὴν πάτριον ἀπῄχησιν ἔσωζον τῆς φωνῆς, ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει·

Καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με
παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου.

Solatur aliquid ipsa me vocis nota:
videor Laconem quippe odorari sonum.

II. Erotianus in Lexico Hippocr. Θράσσει . . . ἔστι δὲ ὀχλεῖ, ὡς καὶ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει φησί·

Γυναῖκα δ' ἐξελόντες, ἣ θράσσει γένυν,
ὡς τοῦ μὲν αἰόλον γραφίοις ἐνημμένοις.

Legitimi sunt quidem isti senarii, sed qui sensus ex iis elici possit non video.

III. Strabo l. xiv. p. 952. Οἱ δὲ τὸν Κάλχαντά φασιν ἀποθανεῖν ὑπὸ λύπης, καὶ κατά τι λόγιον. λέγει δ' αὐτὸ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει, ὡς εἱμαρμένον εἴη ἀποθανεῖν, ὅταν κρείττονι ἑαυτοῦ μάντει περιτύχῃ.

IV. Plutarchus in comparatione Lycurgi et Numæ p. 168. ubi de puellarum educatione agit, et de φαινομήρισιν Lacænis: Τῷ γὰρ ὕντι τοῦ παρθενικοῦ χιτῶνος αἱ πτέρυγες οὐκ ἦσαν ἀνερραμμέναι κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο, καὶ συναναιρόμενον ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. καὶ σαφέστατα τὸ γιγνόμενον εἴρηκε Σοφοκλῆς ἐν τούτοις·

Καὶ τὰν νέορτον, ἅς ἕτ' ἄστολος χιτὼν
θυραῖον ἀμφὶ μηρὸν
πτύσσεται, Ἑρμιόναν.

Ita Valckenarius in Euripid. Diatribe p. 221. Tragici verba sanitati restituit. Chorici cantici hæc particula non aliunde sumi potuit quam ex *Helenæ repetitione.* Nihil tale de Hermione dudum nupta dici potuit in cognomine dramate.

V. Eustathius p. 1205. ex Athenæo p. 76. Κατὰ τὸ ἄρρεν λέγεται ἔριφος, ἡ ἀγρία συκῆ· ὅθεν καὶ ῥῆμα ἐριφίζειν παρὰ Σοφοκλεῖ ἐν Ἑλένης γάμῳ, ἔνθα τὸν καρπὸν τῷ τοῦ δένδρου ἐκάλεσεν ὀνόματι, εἰπών,

Πέπων δ' ἐρινὸς ἀχρεῖος ὢν
ἐς βρῶσιν, ἄλλους ἐξερινάζεις λόγῳ.

παροιμιακὸν δὲ αὐτὸ τὸ νόημα, ὅμοιον τῷ· ἀπαίδευτος ὤν, πῶς ἂν ἑτέρους παιδεύσειας. Priorem senarium sic integrari posse opinabatur Casaubonus:

πέπων δ' ἐρινὸς αὐτὸς ὢν ἀχρήϊος.

Digitized by Google

Sed Ionicum ἀχρήϊος probabile non est adhibuisse Sophoclem. Vertit Grotius:

Caprificus ipse mollis et nulli usui,
alios tuo sermone caprificos facis.

Sensum non magis adsecutus esse videtur, quam Casaubonus, qui proverbium simile esse ait illi apud Terentium: *Tute lepus es et pulpamentum quæris.* ἐξεριάζειν λόγῳ est *oratione maturum reddere, aptum rebus agendis.* Sicque accipit Eustathius: ἀναίδευτος ὢν ἑτέρους παιδεύεις.

VI. Vide Lexicon in Ἀναχαιτίζει. Νέωται.

ΕΠΙΓΟΝΟΙ.

I. Stobæus Floril. tit. xxxviii. p. 153.

φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις
νικᾶν ἐπ' αἰσχροῖς, ἢ 'πὶ τοῖς καλοῖς πλέον.

Pressum solent livore rumores mali
in prava potius trahere, quam in recti viam.

II. Idem tit. lxxiii. p. 311.

Ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα, γύναι·
κάκιον ἀλλ' οὐκ ἔστιν, οὐδ' ἔσται ποτὲ
γυναικὸς, ἢ εἴ τι πῆμα γίγνεται βροτοῖς.

O omne facinus ausa plus quam femina:
nec est, nec olim, si lues surget nova,
ullum erit hominibus femina gravius malum.

Tres hi versus una serie continuantur in Reg. cod.

III. Sophoclis Epigonos Latine expresserat Attius, cujus versum laudat Cicero Tuscul. ii. 24. Tum Cleanthem, quum pede terram percussisset, versum ex Epigonis ferunt dixisse:

Audisne hæc, Amphiarae sub terram abdite?

Sophoclis Epigonorum ab Attio conversorum meminit Cicero in libro de oratorum optimo genere cap. vi. *Nec Andromacham igitur aut Antiopam, aut Epigonos Latinos recipiant. Sed tamen Ennium, et Pacuvium; et Attium potius quam Euripidem et Sophoclem legunt.* Euripidis Andromacham apud Romanos docuit Ennius: Antiopam Pacuvius: Sophoclis Epigonos Attius. Hinc erroris arguitur Davisius, qui ad Tusc. ii. ex Æschyli dramate conversos fuisse ait Attii Epigonos.

IV. Athenæus l. xiii. p. 584. ubi e Lyncei commentariis Gnathænæ meretricis faceta aliquot dicta refert: Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ' ἀγῶνός τινος, ἐν ᾧ τοὺς ἐπιγόνους εἰσημερήκει, πίνειν μέλλοντος παρ' αὐτῇ, καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προαναλῶσαι, ἔφη·

Ὀλόμενε παίδων, ποῖον εἰρηκας λόγον;

Senarius est ex ipso dramate, quod Andronicus histrio modo cum plausu egerat, quemque ipse recitaverat: inde responsi acumen. Æschyli Epigonos Andronicum egisse opinatur Fabricius, qui ejus meminit in notitia Tragicorum deperditorum. Sophoclis drama, ut nobilius, intelligi probabile est.

V. Vide Scholiastam nostrum ad Œd. Col. 378.

ΕΡΙΦΥΛΗ.

I. Stobæus Floril. tit. i. p. 3.

Ἀρετῆς βέβαιοι δ' εἰσὶν αἱ κτήσεις μόναι.

Virtutis una, quæ manet, possessio est.

Digitized by Google

II. Idem tit. vii. p. 47.

Ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται.

Nescit bonorum pectus elanguescere.

III. Idem tit. xliii. p. 168.

Ὅπου δὲ μὴ τὰ βᾶστ' ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ' ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

Ubi profutura liberum non est loqui,
sed victa cedit civitas pejoribus,
periclitatur sæpe peccando salus.

IV. Idem tit. xcix. p. 417.

Πῶς οὖν μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ,
ὅπου τὸ δεινὸν ἐλπὶς οὐδὲν ὠφελεῖ;

Homo quid repugnem cladibus cœlestibus,
quum spes miserias nulla sustentet meas?

V. Idem tit. cxviii. p. 485.

Γήρως προσόντος σῷζε τὴν εὐφημίαν.

Famam senilem crede tutandam tibi.

VI. Clemens Strom. vi. p. 741.

Ἄπελθ'· ἐκείνης ὕπνος ἰατρὸς νόσου.

Abscede: somnus huic malo remedium est.

In Clemente legitur sine sensu: *ἄπελθ' ἐκείνης ὕπνον ἰατρὸν νόσου.* Conjeceram *ἀπῆλθ' ἐκείνης ὕπνον ἰατρὸς νόσου.* Quod dedi, Valckenario debeo. Grotius verterat: Adi soporem, qui mali hujus remedium est.

VII. Appendix Vat. Proverb. ii. 49. *Καὶ γὰρ Ἀργείους ὁρᾷς. Αὕτη Σοφοκλειος. ποιεῖται γὰρ Ἐριφύλη πρὸς Ἀλκμαίωνα λέγουσα·*

Καὶ γὰρ Ἀργείους ὁρῶ.

εἴρηται δὲ ἐπὶ τῶν ἀτενῶς πρὸς ὀτιοῦν βλεπόντων, καὶ καταπληκτικόν τι δοκούντων ὁρᾷν. οἱ δὲ, ἐπὶ τῶν εἰς κλοπὴν ὑπονοουμένων. κωμῳδοῦνται γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ, ὡς καὶ Σοφοκλῆς ἐχρήσατο.

VIII. Excerpta Ruhnkenii e Stobæi cod. Ms.

Ἡ γλῶσσ' ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχει,
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέων.

ΕΡΜΙΟΝΗ.

I. Eustathius p. 1479. *Σοφοκλῆς δὲ, φασὶν, ἐν Ἑρμιόνῃ ἱστορεῖ, ἐν Τροίᾳ ὄντος ἔτι Μενελάου, ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ τοῦ Τυνδάρεω τῷ Ὀρέστῃ· εἶτα ὕστερον ἀφαιρεθεῖσαν αὐτοῦ, ἐκδοθῆναι τῷ Νεοπτολέμῳ κατὰ τὴν ἐν Τροίᾳ ὑπόσχεσιν· αὐτοῦ δὲ Πυθοῖ ἀναιρεθέντος ὑπὸ Μαχαιρέως, ὅτε τὸν Ἀπόλλω τιμώμενος τὸν τοῦ πατρὸς ἐξεδίκει φόνον, ἀποκαταστῆναι αὖθις αὐτὴν τῷ Ὀρέστῃ· ἐξ ὧν γενέσθαι τὸν Τισαμενὸν, φερωνύμως οὕτω κληθέντα παρὰ τὴν μετὰ μένους τίσιν, ἐπεὶ ὁ πατὴρ Ὀρέστης ἐτίσατο τοὺς φονεῖς τοῦ Ἀγαμέμνονος.* Confer interpretem Hygini ad fab. cxxiii. ubi ex his Eustathii verbis corrigitur Scholiastes Euripidis ad Orest. 1687. Hinc colligi potest, quodnam fuerit dramatis argumentum, recuperata ab Oreste Hermione. Proinde ad illud pertinere non possunt versus a Plutarcho servati, a Valckenario restituti, quos exhibui supra in Helenes repetitione.

Digitized by Google

II. Stephanus: Ἀγυιὰ, *τόπος δηλῶν τὴν ἐν τῇ πόλει πορευτὴν ὁδὸν—τὸ τοπικὸν, ἀγυιαῖος.* Σοφ. Ἑρμιόνῃ·

Ἀλλ' ὃ πατρῴας γῆς ἀγυιαίου πέδον.

III. Vide Lexicon in Γνωστός.

ΕΥΜΗΛΟΣ.

Fabulæ nomen inditum ab Eumelo heroë. Cognominibus autem ex multis quis ille fuerit, incompertum est. Vide notas ad Ovidii Metam. vii. 390.

Vide Lexicon in Ἀσάμινθος. Ὀδός.

ΕΥΡΥΑΛΟΣ.

Euryalus filius fuit Ulyssis et Evippes, quem ab ipso patre Ulysse interfectum alii narrant, alii vero a Telemacho. Vide Parthenii Erotica cap. iii. cujus inscriptio est: Περὶ Εὐίππης. *Ἱστορεῖ* Σοφοκλῆς Εὐρυάλῳ. et Eustathium p. 1796.

ΕΥΡΥΣΑΚΗΣ.

Vide Lexicon in Ἀδόξαστον.

ΖΩΣΤΗΡΕΣ.

Pollux vii. 68. Ὁ τε τῆς Ἀμαζόνος Ζωστὴρ, καὶ ἡ ἐν ταῖς Σοφοκλέους Ζωστῆρσιν ἐπιζώστρα. λέγει γοῦν· Ἔχοντας εὐζώνους ἔσταμαν ἱματίων ἐπιζώστρας. Miror ad hæc Pollucis verba nihil observasse doctissimum Hemsterhusium. Quæ in iis tanquam e Sophocle proferuntur depravata sunt, multoque etiam magis fabulæ titulus. Nullibi, præterquam hoc in loco, memorantur Sophoclis *Cingula*, sive *Baltei*; nec quid sub tam absurdo titulo latere possit excogitare queo.

ΗΡΑΚΛΗΣ ΕΠΙ ΤΑΙΝΑΡΩι Σατυρικός.

Hic est sincerus fabulæ titulus in integrum restitutus ab acutissimo Toupio Epist. crit. p. 123. *Hercules in Tænaro, quod Laconicæ promontorium est, ad inferos descendit, ad Cerberum, canem illum tricipitem, in lucem educendum: hinc fabulæ satyricæ nomen et argumentum.* Scripturæ compendia erroribus ansam dedere. Ex Η. ΕΠΙ ΤΑΙΝΑΡΩι Σ. fecerunt omissa prima litera ἐπὶ Ταινάροις vel Ταιναρίοις. Ex alio compendio ΗΡΑΚΛΗΣ Ε. Τ. ΣΑΤΥΡΙΚΟΣ, fecerunt, omissis duabus mediis, Ἡρακλῆς σατυρικός.

I. Ahenæus l. ix. p. 375. Χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἰππώναξ—καὶ Σοφοκλῆς ἐπὶ Ταιναρίοις·

Τοιγαροῦν

ἔδει φυλάξαι, χοῖρον ὅστε δεσμᾶσαν.

II. Pollux x. 110. Προσθετέον δὲ τῷ μαγείρῳ καὶ ξύλα καύσιμα, καὶ κληματίδας, καὶ ἐκκαύματα, εἰπόντος Σοφοκλέους ἐν Ἡρακλεῖ Σατυρικῷ·

Συνέλεγον τὰ ξύλ' εἰς ἐκκαύματα,

μή μοι μεταξὺ προσδεύσειεν.

Sic scribenda Sophoclis verba, quod miror eruditos viros, qui de hoc Pollucis loco egerunt, fugisse.

III. Vide Ægei fragm. iv. et Lexicon in Ἀλαλίαν. Ἀργέμων. Κύκλους. Οὐ κωφίζει.

IV. Ad hanc fabulam respexisse videtur Aristides his verbis, tom. ii. p. 310.

Digitized by Google

Ἤδη δέ τις καὶ Σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ· εἶτά γ' ἵκνψε προσιόντος κάτω.

ΗΡΙΓΟΝΗ.

Vide Lexicon in Τοπάζειν. Ὕποφρον.

ΘΑΜΥΡΙΣ.

Thamyris, quem perhibent πρῶτον ἄρξασθαι ἐρᾷν ἀρρένων, notus ex Homero Iliad. β'. 595. Hujus mentio etiam in Rheso circa finem:

Περᾶσα γὰρ δὴ ποταμίους διαῤῥοὰς,
λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
ὅτ' ἦλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον, ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι, μεγίστην εἰς ἔριν μελῳδίας
δεινῷ σοφιστῇ Θρῃκὶ, κἀτυφλώσαμεν
Θάμυριν, ὃς ἡμῶν πόλλ' ἐδέννασεν τέχνην.

Hic Thamyris aliis appellatur Thamyras, quo nomine Athenæus Tragici fabulam laudat. Ovidius in Arte iii. 399.

Tu licet et Thamyran superes et Amœbea cantu.

At Statius Theb. iv. 182. ubi Homerum æmulatur:

Hic fretus doctas anteire canendo
Aonidas, mutos, Thamyris damnatus in annos
ere simul citharaque (quis obvia numina temnat?)
conticuit præceps.

Vide auctores laudatos ad Ovidii Ibin 274. Quibus ex omnibus facile colligitur dramatis argumentum, in quo Sophocles ipse Thamyrin egit. Athenæus l. i. p. 20. Σοφοκλῆς δὲ πρὸς τῷ καλὸς γεγενῆσθαι τὴν ὥραν, ἦν καὶ ὀρχηστικὴν δεδιδαγμένος, καὶ μουσικὴν ἔτι παῖς ὢν παρὰ Λάμπρῳ—καὶ τὸν Θάμυριν διδάσκων αὐτὸς ἐκιθάρισεν. ἄκρως δὲ ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε.

I. Pollux iv. 75. Μόναυλος, εὕρημα μέν ἐστιν Αἰγυπτίων. μέμνηται δὲ αὐτοῦ Σοφ. ἐν Θαμύρι. Athenæus l. iv. p. 175. Τοῦ δὲ μοναύλου μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ οὕτως·

Ὤιχωκε γὰρ κροτητὰ πηκτίδων μέλη,
λύρα μόναυλος, ἥ τε [χειμώνων πλέως
ναὸς στέρημα κωμάσης]

Verba uncis inclusa desperata sunt.

II. Athenæus l. xiv. p. 637. Σοφοκλῆς δ' ἐν Θαμύρᾳ·

Πηκταὶ δὲ λύραι καὶ μαγαδίδες,
τά τ' ἐν Ἕλλησιν ξόαν' ἡδυμελῆ.

Vide Valckenarium ad Theocriti Adoniaz. p. 225.

III. Eustathius p. 358. Ὅτι δὲ Θρᾳκικὸς καὶ ὁ Ἄθως, οὗ μνεία παρὰ τῷ ποιητῇ, δηλοῖ, φασὶ, Σοφοκλῆς ἐν Θαμύριδι, εἰπών·

Θρῇσσαν σκοπιὰν Ζηνὸς Ἄθφου.

IV. Ad Sophoclis drama procul dubio pertinent ista apud Plutarchum in libro de ira cohibenda p. 455. Ἀλλ' ὀργιζόμεθα καὶ πολεμίοις, καὶ φίλοις, καὶ τέκνοις καὶ γονεῦσι, καὶ θεοῖς νὴ Δία, καὶ θηρίοις, καὶ ἀψύχοις σκεύεσιν, ὡς ὁ Θάμυρις·

Ῥηγνὺς χρυσόδετον κέρας,
ῥηγνὺς ἁρμονίαν χορδοτόνου λύρας.

Digitized by Google

V. Hexametros duos ex hoc dramate profert Scholiastes noster ad Œd. Col. 378. Vide Lexicon in Κάνναβις. et Athenæi locum prolatum in Mysis.

ΘΗΣΕΥΣ.

Ad hoc drama pertinere videntur ista in prolegomenis ad Pindari Isthmia: *Τὸν τῶν Ἰσθμίων ἀγῶνα οἱ μὲν ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναί φασι τὸν Θησέα, ἀνελόντα αὐτὸν, ὅτε περ καὶ τοὺς ἄλλους, ὅς φησι Σοφοκλῆς, λέγων περὶ αὐτοῦ·*

Ὃς παρακτίαν
στείχων, ἀνημέρωσα κνωδάλων ὁδόν.

Vide Lexicon in Ὄμπνιον.

ΘΥΕΣΤΗΣ ΕΝ ΣΙΚΥΩΝΙ ἢ ΣΙΚΥΩΝΙΟΣ. ΘΥΕΣΤΗΣ ΔΕΥΤΕΡΟΣ.

Duo fuerunt dramata. Prioris actio transigebatur Sicyone, posterioris Argis. Utriusque argumentum colligi potest ex Hygini fabula lxxxviii.

I. Stobæi Ecl. p. 129.

Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται.

Necessitatem vicerit ne Mars quidem.

II. Idem Floril. tit. xxix. p. 125.

Ὡς νυν τάχος στείχωμεν. οὐ γάρ ἐσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε.

Celeres eamus ergo properanti gradu:
culpanda non est justa festinatio.

Ex indole linguæ et usu ἅψεται legendum est. Male vulgo ἅπτεται, et pravum itidem est, quod Heathius suadet, ἅπτηται.

III. Idem tit. cviii. p. 451.

Πάντων ἄριστον, μὴ βιάζεσθαι θεούς,
στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ' ἔρως
πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.

In Cœlites vim non parare est optimum,
sed amare fatum. vetita qui nimium cupit,
sæpe et paratis rebus excussus jacet.

IV. Idem tit. cxiv. p. 471.

Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονὴ,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

Hæc est voluptas maxima ex sermonibus,
oblivionem induere præsentis mali.

V. Idem tit. cxvi. p. 477.

Καίπερ γέρων ὢν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὠ νοῦς ὁμαρτεῖν, καὶ τὸ βουλεύειν ἃ δεῖ.

Quamvis senex sim; nam senectutem solent
consilia recta mensque callidior sequi.

VI. Scholiastes Euripidis ad Phœnissas 238. *Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ, καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῇ ἐν Παρνασῷ, λέγων οὕτως·*

Ἔστι γάρ τις ἐναλία πόλις
γῆς Εὐβοείας, ἔνθα Βάκχειος βότρυς
ἐπ' ἦμαρ ἕρπει· πρῶτα μὲν λαμπρᾶς ἕω
κεκλημάτωται χῶρος· οἰνάνθης δέμας
εἶτ' ἦμαρ αὔξει μέσσον, ὑμφακος τρόπον,

Digitized by Google

καὶ κλίνεταί γε, κἀποσέρκοῦται βότρυς·
δείλη δὲ πᾶσα τέμνεται βλαστουμένη
καλῶς ὀπώρα, κἀνακιρνᾶται ποτόν.

Prodigiosa illa vitis, cujus meminit etiam Scholiastes noster ad Antig. 1126. in Eubœæ urbe Nysa fuisse perhibetur. Stephanus in Νῦσαι—δεκάτη ἐν Εὐβοίᾳ, ἔνθα διὰ μιᾶς ἡμέρας τὴν ἄμπελόν φασιν ἀνθεῖν, καὶ τὸν βότρυν πεπαίνεσθαι.

VII. Vide Lexicon in Ἀκήρυκτον. Ἄλογα. Ἀλωπός. Ἀμόρφωτον. Ἀνταίρουσιν. Ἀπείρονας. Ἀπόθεα. Ἀποπλήκτῳ. Ἀτελῆ. Αὐτόμοιρος. Αὐτόφορτοι. Ἀφοσιώμεναι. Ἐντέλλω. Ἐπαίνους. Ἠγόμην.

ΙΝΑΧΟΣ Σατυρικός.

De argumento vide Toupium Epist. crit. p. 51. et qui dudum ante eum perspexerat fabulam fuisse satyricam, Tib. Hemsterhusium ad Aristoph. Plutum p. 248.

I. Stobæus Floril. tit. xlvi. p. 179.

Ἐπῄνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,
ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

Laudo: sed et tu noveris verbum vetus:
vir clarus humili sæpe de sorte exiit.

Omissum in impresso Stobæo dramatis titulum addunt codices.

II. Dionysius Halic. Antiq. i. 25.

Ἴναχε γεννᾶτορ, παῖ κρηνῶν
πατρὸς Ὠκεανοῦ, μέγα πρεσβείων
Ἄργους τε γύαις Ἥρας τε πάγοις
καὶ Τυρσηνοῖσι Πελασγοῖς.

III. Athenæus l. xv. p. 668. emendatus a Toupio Epist. crit. p. 57. Σοφοκλῆς ἐν Ἰνάχῳ ἀφροδισίαν εἴρηκε τὴν λάταγα·

Ξένη δὲ κἀφροδισία
λάταξ ἅπασι νῦν ἐπεισκύπτει δόμοις.

IV. Pollux ix. 50. Μέρη δὲ πόλεως, καὶ πανδοκεῖον, καὶ ξενὼν, καὶ, ὡς ἐν Ἰνάχῳ Σοφοκλῆς·

Πανδόκου ξενόστασις.

V. Scholiastes Æschyli ad Prom. 576. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα τὸν Ἄργον εἰσάγει.

VI. Schol. Comici ad Plutum 727. Τὸν Πλοῦτον, Πλούτωνα εἶτε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ· Πλούτωνος δ' ἐπείσοδος. καὶ πάλιν·

Τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν.

Idem ad v. 807. Σκύφη δὲ, ἡ ἀρτοθήκη. ταῦτα δὲ ἐξ Ἰνάχου Σοφοκλέους, ὅτε, τοῦ Διὸς εἰσελθόντος, πάντα μεστὰ ἀγαθῶν ἐγένετο.

VII. Idem ad Equites 1147. Κηφὶς—ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ.

VIII. Idem ad Aves 1203. Κυνῇ δὲ, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον· ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἰριδος·

Γυνὴ τίς ἥδε; κυκλὰς Ἀρκάδος κυνῆς.

Vide Toupium Epist. Crit. p. 52.

IX. Idem ad Concionantes 80. Τοῦ Πανόπτου. τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.

Digitized by Google

X. Vide Lexicon in Ἀελλόθριξ. Ἀναιδείας. Ἄνανται. Ἀλωπός. Ἀντίπλαστον. Ἀράχνη. Ἀρκὰς κυνῆ. Βοῦ. Ἐπίκρουμα. Κνάμῳ. Παλίνστικον.

ΙΝΩ.

Ex hoc dramate desumptus videtur senarius, quo facete utitur helluo apud Athenæum l. viii. p. 344. *Βίων δὲ, προαρπάσαντός τινος τὰ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς καὶ διαφιλώσας, φαγὼν ἐπεῖπεν·*

Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.

In ea quæ præcedit de alio helluone narratiuncula citatur itidem Tragici nostri, absque auctoris et dramatis indicio, versus ex Antigona 714.

Vide Lexicon in Ἄλυτον.

ΙΞΙΩΝ.

Schol. Apollonii ad Argon. iv. 14. *Παρὰ τὸ ὕψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον. Καὶ Ὅμηρος· Πολυδίψιον Ἄργος ἱκοίμην· πολλάκις βεβλαμμένον.*

ΙΟΒΑΤΗΣ.

Iobates rex Lyciæ pater fuit Sthenebœæ. Vide Apollodori Biblioth. ii. 3. et Hygini fab. lvii.

I. Stobæus Floril. tit. cxx. p. 489.

Τὸν Ἅιδαν γὰρ οὐδὲ
γῆρας οἶδε φιλεῖν.

Nam sacra regna Ditis
nec ipsa amat senectus.

II. Vide Lexicon in Ἀφύλλωτον.

ΙΟΛΑΟΣ.

Aristophanes Equitibus, 498.

Ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν.

ταῦτα δὲ, inquit Scholiastes, *παρὰ τὰ Σοφοκλέους ἐξ Ἰολάου.*

ΙΠΠΟΝΟΟΣ.

Dramatis hujus meminit Pollux iv. 111. ubi docet a gravitate Tragœdiæ alienum esse, poëtas de rebus ad semetipsos pertinentibus ad theatrum verba facere ex Chori persona, quæ materia est comicarum *Παραβάσεων*: id tamen instituisse sæpius Euripidem, at Sophoclem, qui melior eo videri volebat, fecisse rarius, ut in Hipponoo. Fuit autem Hipponous rex Oleni, Peribœæ pater, quæ ab Œneo vitiata Tydeum peperit. Vide Apollodori Biblioth. i. 8. 4. *Quæ plura ibi narrantur de parentis in filiam ira, argumentum facere potuere tragœdiæ Sophoclis.* Verba sunt Heynii mei in egregio ad Apollodorum Commentario p. 612.

I. Stobæi Ecl. p. 143. et Clemens Stromat. iv. p. 742.

Πρὸς ταῦτα κρύπτε μηδὲν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων, πάντ' ἀναπτύσσει χρόνος.

Studeas nihil celare. quæ videt omnia
et omnia audit, omnia evolvit dies.

Vide Agellii lib. xii. cap. xi.

Digitized by Google

II. Stephanus: Ὤλενος, πόλις Ἀχαΐας, καὶ Αἰτωλίας, θηλικῶς λεγομένη. Σοφ. ἐν Ἱππόνῳ·

Ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι.

III. Vide Lexicon in Ἀπαλέξασθαι. Ἀπαρθένευτος.

ΙΡΙΣ Σατυρική.

I. Athenæus l. xiv. p. 646. Ἴτριον, πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γενόμενον—Σοφ. Ἴριδι·

Ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω.

II. Vide Lexicon in Εὔσπορος. Μίαν μίαν. Quibus in glossis male citatur Σοφ. Ἔριδι. Drama ab Iride denominatum fuisse videtur.

ΙΦΙΓΕΝΕΙΑ.

I. Stobæus Floril. tit. xxx. p. 135.

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή·
θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

Nullus supinæ fructus est ignaviæ,
nec feriantes adjuvat fautor Deus.

II. Athenæus l. xii. p. 513.

Νόει πρὸς ἀνδρὶ σῶμα πουλύπου ὅπως
πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.

Intricata et male structa verba corruptelam ostendunt. Grotius in fine prioris senarii legit ὅμως, quod nihil juvat, et sic vertit:

Similem esse polypo crede, qui, prout est lapis
ad quem applicatur, vertere ingenium solet.

III. Vide Lexicon in Ἀκρουχεῖ. Ἀπυνδάκωτος. Βασιλῆ. Πενθερός. Ὕποφρον.

ΙΦΙΚΛΗΣ.

Iphicles Amphitryonis et Alcmenæ filius, eodem partu, quo Hercules, editus. Ad hoc nomen diversos fabularum titulos refero, quos in libris corruptos esse opinor. Nam quæ citatur a Scholiasta nostro ad Œd. Col. 791. ΙΦΙΚΛΕΙΑ, nulla fuit; nec quæ a Polluce laudatur ΙΟΚΛΗΣ. Sophocles his in locis citari debuit ἐν Ἰφικλεῖ vel forte ἐν Οἰκλεῖ. Fuit autem Oïcles pater Amphiarai, ad quem confugit nepos Alcmæon, a Furiis maternæ cædis ultricibus agitatus. Vide Apollodorum iii. 7. 5. Nihil in his conjecturis certi; nec magni momenti res est.

I. Pollux x. 39. Καὶ τύλη δὲ παρ' Εὐπόλιδί ἐστιν ἰδίζοντι ἐν τοῖς Κόλαξι· καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ Ἰοκλεῖ λέγοντι·

Ἀλλὰ καὶ λινορράφῃ
τυλεῖα.

II. Etymol. M. Βουθοίη, πόλις τῆς Ἰλλυρίδος. Σοφ. Ὁπομακλεῖ·

Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη.

Heathio in Hercule Satyrico versus hic hexameter a quovis alio quam a Sophocle profectus videtur. Nescio quare. Num quia hexameter est? At tales in aliis dramatibus erant. Vide in Thamyride.

ΙΧΝΕΥΤΑΙ Σάτυροι.

Vide Lexicon in Ἐνήλατα. Ὄρμενος. Ῥικνός.

Digitized by Google

ΙΩΝ.

Stobæus Floril. tit. ciii. p. 425.

Ἐν Διὸς κήποις ἀροῦσθαι
μόνον εὐδαίμονας ὄλβους.
Nusquam sincera feruntur
bona, præterquam Jovis horto.

ΚΑΜΙΚΙΟΙ ἢ ΜΙΝΩΣ.

Sincerus hic est fabulæ titulus, quam alii ΚΑΜΙΚΟΙ, alii ΚΩΜΙΚΟΙ inscribunt. Oppidum Siciliæ est Camicus. Vide Stephanum in Κάμικος. A personis quibus constabat chorus denominata fabula, ut Μυκηναῖαι, Λαρισσαῖοι, Cratini Σερίφιοι, qui passim etiam gemello errore Σέριφοι appellati occurrunt. Vide Hemsterhusium ad Pollucem x. 156. Argumentum erat mors Minoïs a Cocali filiabus interempti. Videndi præter Diodorum Sicul. in Dædali historia, Scholiastes Pindari ad Nem. iv. 95. et Pausan. p. 531.

I. Athenæus p. 86. Τῶν στραβήλων μνημονεύει καὶ Σοφ. ἐν Καμικίοις οὕτως·

Ἀλίας στραβήλου τῆσδε τέκνον, εἴ τινα
δυναίμεθ' εὑρεῖν.

II. Idem p. 388. Πέρδιξ· τοῦ ὀνόματος ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβήν, ὡς Ἀρχίλοχος· πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφ. Καμικίοις·

Ὄρνιθος ἦλθ' ἀπώνυμος
Πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

III. Suidas in Πέρδικος ἱερὸν—Σοφοκλῆς δὲ ἐν Καμικίοις, τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα. Sophoclem secutus est Ovidius, quem vide Metam. viii. 256.

IV. Clemens Alex. Strom. vi. p. 741.

Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.
Fortuna non est socia nil conantibus.

V. Vide Lexicon in Κωχεύουσιν.

ΚΗΔΑΛΙΩΝ Σατυρικός.

I. Suidas: Λευκὴ στάθμη. ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων· ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς Κηδαλίωνι·

Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.
Tuis notabor non magis sermonibus,
amussis alba lapide ab albo quam solet.

II. Idem: Ὄνου σκιά. Καὶ, περὶ ἄνου σκιᾶς. Σοφ. Κηδαλίωνι·

Ὅ τι ἂν γένηται, ταῦτα πάντ' ὄνου σκιά.

III. Athenæus p. 164. Κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα, λαστὲ Μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.

IV. Vide Lexicon in Αὐτοκτίστους. Δάατος.

ΚΑΤΤΑΙΜΝΗΣΤΡΑ.

Fabulam hanc solus ex omni antiquitate laudat Erotianus in Lexico Hippocrateo, ubi hæc leguntur verba: Ἀντεόνθεον. τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἄνθρωπον. Ἀντέον δ' ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα. ὡς καὶ Σοφοκλῆς

Digitized by Google

ἐν Κλυταιμνήστρᾳ λέγων· Τὸν δὲ ἔντεον περιδινέοντα οὐχ ὁρᾶτε, καὶ δεῖμα προσπνέοντα ἀντίας θεοῦ. Sunt ista sane quam corrupta, et nescio emendandi conatum frustratura: huic itaque supersedeo. Sed quid suspicer, interim non celabo: nempe ad superstitem Electram ista pertinere, cujus quum finis sit Clytæmnestræ ultio et mors, hoc titulo potuit a veteribus citari. Prolata ab Erotiano verba, si quo in codice sincera reperirentur, lacunam forte explerent, quæ est in Electra v. 1432. Sophoclis Clytæmnestram laudatam fuisse ab Hesychio in Ἀράβῳ opinati sunt viri quidam docti.

ΚΟΛΧΙΔΕΣ.

Idem in titulo error qui supra in Αἰχμαλωτίσιν. Κόλχοι laudatur fabula, cujus index Κολχίδες. Sic auctor argumenti Promethei Æschylei: Κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις.

I. Stobæus Floril. tit. xxii. p. 115.

Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

Mortale supra sapere nil hominem decet.

II. Athenæus p. 602. Σοφοκλῆς ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος·

Μητροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

III. Suidas: Ἀνθυπουργῆσαι χάριν, τὸ ἀνταποδοῦναι. Σοφ. Κολχίσιν·

Ἥ φῃς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;

Hic versus sine dubio Medeæ fult operam Jasoni promittentis, sed sub ea conditione, ut ipse gratiam pro benefactis referret, sibique vicissim novæ nuptæ maritus vacaret. Hemsterhusius ad Aristoph. Plutum p. 343.

IV. Schol. Apollonii Rhodii ad iii. 1371. Σοφοκλῆς ἐν Κολχίσι πεποίηκε τοῦ ἀγγέλου τὸν Αἰήτην πυθόμενον περὶ τῶν προειρημένων οὕτως·

Ἥ βλαστὸς οὐκ ἔβλαστεν δύπιχώριος,
καὶ κάρτα φρίξας εὐλόφῳ σφηκώματι,
χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ;

Confer præstantissimi Valckenarii notam ad Euripidis Phœnissas p. 256. Pravam lectionem φφηνώματι inepte tuetur Heathius, quo sensu σφηκώματι repositum fuerit haud assequi se fassus. Scilicet lexica sibi facta non arbitrabatur. Henr. Stephani thesaurus eum edocuisset quid σφήκωμα sit. Hujus dramatis meminit rursus idem Scholiasta, cujus locum damus infra in Scythis.

V. Vide Lexicon in Ἐπαλλαχθεῖσα. Ἥισμεν. Κινάρα. Πέμφιξ.

ΚΡΕΟΤΣΑ.

Creüsæ memorantur plurimæ, e quibus quamnam in hoc dramate exhibuerit Sophocles, e superstitibus reliquiis haud facile conjicere est. Probabile est argumentum ex Attica historia petitum fuisse, Creüsamque intelligo Erechthei filiam Xutho nuptam, cujus in Euripidis Ione precipuæ sunt partes.

I. Stobæus Floril. tit. vii. p. 47.

Ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται,
ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστὶν, ἀσφαλὴς δ' ὁ νοῦς.

Qui plenus animi fertur in periculum,
Huic lingua constat, mensque non percellitur.

II. Idem tit. xii. p. 79.

Καλὸν μὲν οὖν οὐκ ἔστι τὸ ψευδῆ λέγειν·
ὅτῳ δ' ὅλεθρον δεινὸν ἡ 'λήθει' ἄγει,

Digitized by Google

ξυγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.
Aliena vero proloqui nunquam decet:
at vera certam si cui pestem ferunt,
huic danda venia est, si facit quod non decet.

III. Idem tit. xxviii. p. 151.

Οὔτε γὰρ, ὦ φίλε, γάμον, οὔτ' ὄλβον ἂν
ἔκμετρον ἔνδον γ' εἴξαιμ' ἂν ἔχειν.
φθονεραὶ γὰρ ὁδοί.
Non divitiis, non conjugio
mihi contingat superare modum:
quippe infestæ livore viæ.

IV. Idem tit. xci. p. 373.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
ὧδ' ἀντέχεσθαι. καὶ γὰρ οἳ μακρὸν, βίον
θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπριξ ἔχονται· κἄστι πρὸς τὰ χρήματα
θνητοῖσι τἄλλα δεύτερ'· εἰσὶ δ' οἵ τινες
αἰνοῦσιν ἄνοσον ἄνδρ'· ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι, πένης ἂν, ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.
Mirum haud putato, tanta quod lucri tenet
me, Rex, cupido. nam quibus vitæ retro
est longa series, tamen inexhausta siti
lucrum expetiscunt: cuncta mortales habent
opibus secunda. sanitas multis boni
est summa. pauper at nequit, me judice,
recte valere: sonticum hoc adeo est malum.

V. Idem tit. ciii. p. 427.

Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.
Justi tenace pulchrius vita nihil;
nil sanitate melius: at nil dulcius
ea quam potiri quæ sibi quisque expetit.

Reg. Stobæi cod. dat v. 2. λῷστον δὲ τὸ ζῆν, quomodo jam emendaverat Piersonus ad Mœridem p. 300. Expressit Sophocles sententiam Theognidis in editione nostra v. 249.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
ἥδιστον δὲ τυχεῖν οὗ τις ἕκαστος ἐρᾷ.

VI. Vide Lexicon in Ἀκύοντά. Ἀνέκτημαι. Ἰσοθάνατον.

ΚΡΙΣΙΣ Σατυρική.

Inauditus is est ad hanc usque diem et inexspectatus Sophoclei dramatis titulus, quem suadente elegantissimæ doctrinæ viro Thoma Tyrwhitt, auctoribus Herodiano et Dracone Stratonicensi, restituimus, in malam rem abire jussis et ΚΡΗΣΙΝ, et ΧΡΗΣΕΙ, et ΧΡΥΣΗι, quibus titulis nullas unquam Tragicus noster fabulas edidit. Jocosum autem hujus satyrici dramatis argumentum expositum habes in Luciani dialogo, cujus eadem est inscriptio, ΘΕΩΝ ΚΡΙΣΙΣ. Unde jam facile intelligere est, cur Veneris et Minervæ diversus ornatus in eo descriptus fuerit.

Digitized by Google

I. Athenæus p. 687. Σοφοκλῆς ὁ ποιητὴς ἐν Κρίσει τῷ δράματι, τὴν μὲν Ἀφροδίτην, ἡδονήν τινα οὖσαν δαίμονα, καὶ μύρῳ ἀλειφομένην παράγει καὶ κατεπτριζομένην· τὴν δ' Ἀθηνᾶν, φρόνησιν οὖσαν καὶ νοῦν, ὅτι δ' ἀρετὴν, ἐλαίῳ χρωμένην, καὶ γυμναζομένην. Inter μύρον et ἐλαῖον quid intersit docet Spanheim ad Callim. L. P. 15.

II. Schol. Comici ad Ranas 193. Ὅτι δὲ καὶ κρέας τὸ σῶμα, καὶ παρὰ Σοφοκλεῖ ἐν Κρίσει·

Τοιοῦτος ὢν ἄρξεις σὺ τοῦδε τοῦ κρέως.

Hæc, ut opinor, dicebat Venus Paridi, promittens ei Helenæ nuptias, quam modo pulcerrimam esse significaverat. Proinde absque interrogatione lego. Grotius, cui de dramatis argumento nihil suboluerat, vertit:

Tun' ergo talis imperes huic corpori?

III. Pollux iv. 83. Ἔστι μέν τοι καὶ τὸ τῆς μαγίδος ὄνομα παρὰ Σοφοκλεῖ ἐν Κρίσει·

Τᾶς Ἑκαταίας μαγίδος δόρπον.

De Hecates cœna vide Hemsterhusium ad Lucianum p. 350.

IV. Ammonius de Diff. Voc. in Βωμὸς—Παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει·

Μηλοσφαγεῖτε δαιμόνων ἐπ' ἐσχάραις.

καὶ Σοφοκλῆς ἐν Χρύσῃ. Lego Κρίσει.

V. Apollonii Lexicon Homericum in Ἰονθάδος—Τὰς γὰρ τῶν τριχῶν βίζας ἰώνθους λέγει Σοφοκλῆς ἐν Κρίσει· (male editum ἐν Χρύσῃ.)

Ἐγὼ μιαν μὲν ἐξιονθίζω τρίχα.

Inde corrigenda Hesychii glossa: Ἐξιονθίζω τρίχα. ἐκδίδωμι. ἔστι γὰρ ἴονθος, βίζα τριχῶν, ἢ ὑπερέχον.

VI. Vide Lexicon in Βυδοί. Φάρος, qui locus est classicus.

ΚΩΦΟΙ Σάτυροι.

Fabulæ titulus est Κωφοί. Nomen Σάτυροι pars inscriptionis non est, sed a Grammaticis additum, quo indicaretur drama esse satyricum. Vide Bentleii Ep. ad Millium p. 15.

I. Scholiastes Nicandri ad Theriaca p. 40. edit. Aldinæ: Ἄλλοι δὲ οὕτω τὸν μῦθον φασίν. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν, οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα, φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι· τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπὶ ὄνου· τὸν δὲ, δίψει τειρόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὁ ὄφις· καὶ τοῦ ποτοῦ ὀρεγόμενος, ἀπέδοτο τοῦ γήρως τὸ φάρμακον· διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν, ἀποδυομένους τὸ γῆρας· τὸν δὲ ὄφιν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος, ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖ δίψαν. ἔστι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς. Eamdem fabulam narrat Ælianus de Nat. Anim. vi. 51.

II. Schol. Apollonii Rhodii ad i. 972. Λέγεται δὲ ἴουλος καὶ ζῷόν τι, θηρίδιον πολύπουν· ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς σατύροις·

Κυλιαθεὶς ὅς τις ὄνος ἰσόπτριος.

Huc pertinet Hesychii glossa: Ὄνος ἰσόπτριος. ἔστι δὲ ζῷον πολύπουν, ὁσπρίῳ ὅμοιον, ὃ καὶ ἴουλον τινὲς φασίν. Gallis appellatur *Cloporte*. Facile poterat

Digitized by Google

ignarissimus quisque levem scripturæ mendam in Tragici verbis eluere. Vellem Heathius conjecturæ parsisset. Satius erat lexica consulere.

III. Idem ad i. 1126. Ὅτι δὲ Νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι κληθῆναι. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς σατύροις. Confer Zenobium Prov. iv. 80. Κέλμις ἐν σιδήρῳ, ubi male citatur Sophocles ἐν Σατύροις, et Wesselingium ad Diodorum Sic. tom. i. p. 331. 4.

ΛΑΚΑΙΝΑΙ.

Fabulæ argumentum e parva Iliade sumptum testatur Aristoteles de Poëtica, cap. 23.

I. Pollux ix. 49. Ἔστι δὲ ἡ ψαλὶς, εἶδος οἰκοδομήματος. ἧπου καὶ Σοφ. ἐν Λακαίναις λέγει·

Στενὴν δ' ἔδυμεν ψαλίδα, κοὐκ ἀβόρβαρον.

II. Priscianus l. xviii. Attici, ἄρχω τοῦδε καὶ τόδε, ἀντὶ τοῦ κατάρχω. Σοφ. Λακαίναις·

Θεοῖς ἄρ' οὔ ποτ', εἴ τι χρὴ βροτὸν λέγειν,
ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείους ὕβριν,
ξυναινέσαιμ' ἂν ταῦτα.' μὴ μάχου βίᾳ.

Male Priscianus in ultimo versu ξυναινῶ ταῦτα.

III. Strabo p. 560. Τὴν δὲ Λᾶν οἱ Διόσκουροι ποτὲ ἐκ πολιορκίας ἑλεῖν ἱστοροῦνται, ἀφ' οὗ δὴ Λαπέρσαι προσηγορεύθησαν. Καὶ Σοφοκλῆς λέγει που·

Νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον,
νὴ τοὺς ἐν Ἄργει καὶ κατα Σπάρτην θεούς.

Hos versus ad Lacænas pertinere probabiliter censet Meursius.

ΛΑΟΚΟΩΝ.

I. Harpocration: Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν—ἴδιον δ' εἶναί φασιν αὐτοὺς Ἀπόλλωνος, οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν—εἶεν ἂν καὶ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοὶ, ὥς φασι Κρατῖνος καὶ Μένανδρος, καὶ Σοφοκλῆς ἐν τῷ Λαοκόωντι, μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησί·

Λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
σμύρνης σταλαγμοὺς, βαρβάρους εὐοσμίας.

Confer Suidam in Ἀγυιαί: et scholia ad Comici Vespas 870. ad quem locum hos versus protulit Fl. Christianus cum ridicula versione.

II. Scholiastes Comici ad Ranas 678.

Πόσειδον, ὃς Αἰγαίου
μέδεις πρῶνας, ἢ γλαυκᾶς
μέδεις εὐανέμου λίμνας
ἐφ' ὑψηλαῖς σπιλάδεσσι
στομάτων.

III. Dionysius Halic. Antiq. i. p. 38.

Νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ
πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου
νώτου καταστάζοντα βύσσινον φάρος.
κυκλεῖ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν·
συνομαρτεῖ δὲ πλῆθος, οὐχ ὅσον δοκεῖς,
οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας Φρυγῶν.

Digitized by Google

In 3. versu proba est lectio νώτου, pro quo Plutarchus Moral. p. 100. aliorsum deflexa sententia citat μότου. κεραυνίου valet κεραυνοβλήτου, *fulminis afflati ventis*, ut loquitur Virgilius Æn. ii. 648. De significatione verbi κυκλεῖ vide Toupii Epist. Crit. p. 31. Emendatos duos ultimos versus damus acutissimi Tyrwhitti certa et eleganti conjectura.

IV. Stobæus Floril. tit. xxix. p. 129.

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

Nihil molesti retinet exactus labor.

Stobæi cod. Vindobon. in quo singulis fragmentis multo distinctius quam in aliis libris præpositi scriptorum et operum tituli, ita ut summe laudanda hac in parte librarii diligentia omnem eximat dubitationem de cujusque fragmenti auctoritate, hunc versum tanquam e Sophoclis Laocoonte designat; et sequentem, cui male adhæret vulgo hujusce titulus, Sophocli nude tribuit, non adjecto fabulæ indice.

V. Vide Lexicon in Καταῤῥάκτης.

ΛΗΜΝΙΑΙ.

I. Notum dramatis argumentum, Argonautarum in Lemnum appulsus, cum Lemniis mulieribus congressus, quem narrat Argonauticorum poëta lib. i. v. 609. Correctum fuisse videtur post primam emissionem, iterumque in scenam inductum. Nam a Stephano in Δώτιον laudantur Λημνίαι πρότεραι, e quibus hanc χρῆσιν profert, emendatam ab Adr. Heringa Observ. p. 235.

Φερητίδης τ' Ἄδμητος, ἠδ' ὁ Δωτιεὺς
Λαπίθης Κορωνός.

II. Schol. Pindari ad Pyth. iv. 303. Πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος.

III. Schol. Apollonii Rhodii ad i. 773. Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις ταῖς Ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβάντας μίσγεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.

IV. Etymol. M. Ἄθως, ἀκρωτήριον Θρᾴκης. Σοφ.

Ἄθως σκιάζει νῶτα Λημνίας βοός.

ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἣν τοῦ Ἄθω ἡ σκιὰ φθάνει. E Lemniis est hic versus procul dubio. Confer Apollonium Argon. i. 601. Deteriorem lectionem amplexus Grotius Λημνίας ἁλὸς, vertit in Excerptis:

Athos obumbrat Lemnii dorsum maris.

Vide Is. Vossii Observat. ad Melam ii. 2. p. 119.

V. Vide Αἰχμαλωτίδων fragm. vii. et Lexicon in Ἀξύμβλητον. Ἀσάλπικτον. Αὐτὸ δείξει.

ΜΕΛΕΑΓΡΟΣ.

